που Ἐμήσης.—Ὁ Σύρος οὕτως ἔχει· «πᾶς ὃς οὐ περιτέμνει, ἐξολοθρευθήσεται». Καὶ ὁ Ἑβραῖος· «πᾶς ὁ μὴ περιτέμνων». Εἰκότως· οὐ γὰρ τὸ νήπιον δεῖ πρὸ τούτου κολάζεσθαι, ἀλλὰ τοὺς γονεῖς.

Быт. 18,8.— | ρνθ′=159-е толков. неизвѣстнаго (сряду послѣ толкованій Акакія Кесарійскаго): Οὕτω λέγει ὁ προφήτης, ὅτι ἔφαγον ὡς τρεῖς ἄνδρες· οὔτε γὰρ τῇ φύσει ἄνδρες ἦσαν· ἀλλ᾽ ἐδόκουν εἶναι τῇ ὄψει τῶν ὁρώντων, ἀναλισκομένων τῶν προτιθεμένων αὐτοῖς, ὡς εἰκός, κατ᾽ ἐνέργειαν θείαν.

Быт. 19,21. 22.— | ρϟδ′=194-е толков. Εὐσεβίου ἐπισκόπου Ἐμήσης. —Τὴν Σιγὼρ ἐπηγγείλατο ὁ θεὸς δι᾽ ἀγγέλου μὴ καταστρέψαι διὰ τὸν Λώτ. ταύτην δὲ ἀλλαχοῦ ἡ Γραφὴ Ζώωρα καλεῖ. ὁ δὲ Σύρος, «Ζωβρὴ καὶ Βαλά, τουτέστιν, ἡ καταπιοῦσα». Καὶ ὁ Ἑβραῖος οὕτω πως λέγει· «ἕως τῆς καταπιούσης περὶ τῆς Σιγὼρ», ὡς ἐν πλείοσι κατοικοῦντος πόλεσι τοῦ Λὼτ ταῦτα λέγεται.

Быт. 19,38.— | σβ′=202-е толкованіе неизвѣстнаго: Οἱ Ἀμμανῖται καὶ οἱ ἀπὸ τῆς Ἀραβίας ἐκράτησαν τὰ μέρη Φιλαδελφείας, ἥτις Ἀμμὼν καλεῖται παρὰ τῶν ἐγχωρίων:— λαὸς ἡμῶν. Два послѣднія слова даютъ разумѣть, что этотъ, неизвѣстный, толковникъ жилъ и писалъ за Іорданомъ, вѣроятно, въ Филадельфіи.

Τοῦ μακαρίου Μελίτωνος ἐπισκόπου Σάρδεων.—Ὡς γὰρ κριὸς ἐδέθη (подраз. Ἰσαάκ)· φησὶ δὲ περὶ τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. καὶ ὡς ἀμνὸς ἐκάρη καὶ ὡς πρόβατον ἐπισφαγῆναι ἤχθη καὶ ὡς ἀμνὸς ἐσταυρώθη, καὶ ἐβάστασε τὸ ξύλον ἐπὶ τοῖς ὤμοις αὐτοῦ ἀγόμενος σφαγῆναι, ὡς Ἰσαὰκ ὑπὸ τοῦ πατρὸς αὐτοῦ. ἀλλὰ Χριστὸς ἔπαθεν, Ἰσαὰκ δὲ οὐκ ἔπαθεν· τύπος γὰρ ἦν τοῦ μέλλοντος πάσχειν Χριστοῦ. ἀλλὰ καὶ ὁ τύπος τοῦ Χριστοῦ γινόμενος ἔκπληξιν καὶ φόβον παρεῖχε τοῖς ἀνθρώποις· ἦν γὰρ θεάσασθαι μυστήριον καινόν, υἱὸν ἀγόμενον ὑπὸ πατρὸς ἐπ᾽ ὄρους ἐπὶ σφαγήν, ὃν συμποδήσας ἔθηκεν ἐπὶ τὰ ξύλα, τῆς καρπώσεως ἑτοιμάζων μετὰ σπουδῆς τὰ πρὸς τὴν σφαγὴν αὐτῷ. ὁ δὲ Ἰσαὰκ σιγᾷ πεπεδημένος ὡς κριὸς οὐκ ἀνοίγων τὸ στόμα οὐδὲ

φθεγγόμενος φωνῇ· τὸ γὰρ ξίφος οὐ φοβηθεὶς, οὐδὲ τὸ πῦρ πτοηθεὶς, οὐδὲ τὸ παθεῖν λυπηθεὶς ἐβάστασε καρτερῶν τὸν τύπον τοῦ Κυρίου. ἦν οὖν ἐν μέσῳ προκείμενος Ἰσαὰκ πεπεδημένος ὡς κριὸς καὶ πατὴρ παρεστὼς καὶ κρατῶν γυμνὸν τὸ ξίφος καὶ αἰδούμενος φονεῦσαι τὸν υἱὸν αὐτοῦ.

Μελίτωνος Σάρδεων. — Ὑπὲρ Ἰσαὰκ τοῦ δικαίου ἐφάνη κριὸς εἰς σφαγήν, ἵνα δεσμῶν Ἰσαὰκ λυθεὶς ἐκεῖνος σφαγῆς ἐλύτρωσεν τὸν Ἰσαάκ. οὕτως καὶ ὁ Κύριος σφαγεὶς ἔσωσεν ἡμᾶς καὶ δεθεὶς ἔλυσε καὶ τυθεὶς (на полѣ τυπωθεὶς) ἐλυτρώσατο ἡμᾶς.

Εὐσεβίου ἐπισκόπου Ἐμέσης. — Τὸ κατεχόμενος τῶν κεράτων, ὁ Σύρος καὶ ὁ Ἑβραῖος κρεμάμενος, φησί, ὡς σαφέστερον τυποῦντα τὸν σταυρόν· ἀλλὰ καὶ τὸ κριὸς τοῦτο ἀκριβοῖ· οὐ γὰρ εἶπεν ἀμνὸς ὡς Ἰσαὰκ, ἀλλὰ κριὸς, ὡς ὁ κύριος τέλειος. ὥσπερ δὲ φυτὸν σαβὲκ τουτέστι ἀφέσεως ἐκάλεσε τὸν ἅγιον σταυρόν, τὸ ἐκτυποῦν τὸ ἅγιον βάπτισμα. δύο οὖν ἔστι τὰ ἄφεσιν ἁμαρτιῶν χαριζόμενα, πάθος διὰ Χριστὸν καὶ βάπτισμα.

Τοῦ αὐτοῦ. — Ὁ Ἕλλην σεμνότερον ἑρμηνεύει· ὁ γὰρ Ἑβραῖος καὶ ὁ Σύρος αὐτὸ λέγει τοῦ ἀνδρὸς τὸ τεκνοποιὸν ὄργανον. κελεύει δὲ ἐκεῖ θεῖναι τὴν χεῖρα, ἵνα κατὰ τῆς περιτομῆς ὀμόσῃ τῆς τοῦ θεοῦ διαθήκης. Ἄλλως. Δικαίῳ καὶ σώφρονι μέλος οὐδὲν αἰσχρόν, τῷ δὲ ἀδίκῳ καὶ ἡ ψυχὴ μεμίανται. ὅθεν φησί· ὁρκίζω σὲ τὸν δεδωκότα μοι τὴν σφραγῖδα ταύτην. ᾔδει γὰρ Ἀβραάμ, ὅσον ἀπαρέσκει τῷ θεῷ ἡ πρὸς ἔθνη συνάφεια.

Быт. 36,24. — | Καὶ οὗτοι υἱοὶ Σεβεγὼν Ἀϊὲ καὶ Ὠνάν. οὗτός ἐστιν ὁ Ὠνάν, ὃς εὗρε τὸν Ἰαμεῖν ἐν τῇ ἐρήμῳ, ὅτε ἔνεμε τὰ ὑποζύγια Σεβεγὼν τοῦ πατρὸς αὐτοῦ.

На полѣ рукописи: Ὁ Σύρος λέγει πηγὴν τοῦτον εὑρηκέναι.

Вопросы Кvррскаго епископа Θеодорита:

— 55-й. Δια τί τῶν πατριαρχῶν αἱ γυναῖκες στεῖραι;

— 56-й. Διὰ τίνος μαθεῖν ἠθέλησεν ἡ Ῥεβέκκα τὰ περὶ τῶν κυοφορουμένων παιδίων; — Τινές φασι πρὸς τὸν Μελχισεδὲκ αὐτὴν ἀπεληλυθέναι. А Θеодоритъ думалъ, что она

ходила къ какому-либо жертвеннику, воздвигнутому Авраамомъ.

—64-й. Διατί τὸν λίθον ἀλείφει ὁ Ἰακώβ;—Οἷς εἶχε τὸν μεγαλόδωρον ἠμείψατο Κύριον· ὀρθώσας γὰρ τὸν λίθον, ὃν ὑπέθηκε τῇ κεφαλῇ, κατέχεεν αὐτοῦ ἔλαιον. τοῦτο δὲ καὶ νῦν ἔστιν εὑρεῖν παρὰ πολλῶν γυναικῶν τῷ Κυρίῳ πεπιστευμένων γιγνόμενον· εἰώθασι γὰρ ἐν τοῖς θείοις σηκοῖς ἐλαίῳ χρίειν τὰς τῶν ἀνακτόρων κιγκλίδας καὶ τῶν ἁγίων μαρτύρων τὰς θήκας. δηλοῦσι δὲ τοῦτο τῆς ψυχῆς τὴν εὐσέβειαν. δέχεται δὲ καὶ τὰ μικρὰ ὁ φιλάνθρωπος Κύριος ἀποδεχόμενος τὸν τοῦ γινομένου σκοπόν.

Всѣхъ толкованій сего Θеодорита 86. А послѣ сказанія о продажѣ первородства Исава весьма мало толкованій и Θеодоритовыхъ и другихъ. Текстъ писанъ безъ нихъ.

Книга Исходъ.

Ἔξοδος.

— Начинается такъ: Ταῦτα τὰ ὀνόματα τῶν υἱῶν Ἰσραὴλ τῶν εἰσπορευομένων εἰς Αἴγυπτον ἅμα Ἰακὼβ τῷ πατρὶ αὐτῶν. . .

— Оканчивается такъ: . . . νεφέλη γὰρ ἦν ἐπὶ τῆς σκηνῆς ἡμέρας καὶ πῦρ ἦν ἐπ' αὐτῆς νυκτὸς ἐναντίον παντὸς Ἰσραὴλ ἐν πάσαις ταῖς ἀναζυγαῖς αὐτῶν.

Ἔξοδος. στίχοι ͵γω΄ (=3800).

Оглавленія, выражающія содержаніе книги Исходъ, написаны на поляхъ манускрипта въ слѣдующемъ порядкѣ:

Περὶ τῆς ῥάβδου τῆς στραφείσης εἰς ὄφιν.
Πρώτη πληγὴ τοῦ αἵματος.
Δευτέρα πληγὴ διὰ βατράχων.
Τρίτη πληγὴ διὰ σκνιφῶν.
Τετάρτη πληγὴ διὰ κυνομυίας.
Πέμπτη πληγὴ θάνατος κτηνῶν.
Ἕκτη πληγὴ φλυκτῖδες ἀναζέουσαι.
Ἑβδόμη πληγὴ χαλάζης.

Ὀγδόη πληγὴ ἀκρῖδες.

Ἐννάτη πληγὴ σκότος.

Περὶ τοῦ πάσχα νόμος πρῶτος. Περὶ ἀζύμων πρῶτος νόμος.

Δεκάτη πληγὴ τῶν πρωτοτόκων.

Περὶ τῆς ἐξόδου τῶν υἱῶν Ἰσραήλ. Νόμος τοῦ Πάσχα.

Περὶ τῶν ἁγιαζομένων πρωτοτόκων α΄ νόμος.

Περὶ ἀζύμων δεύτερος νόμος ὑπὸ Μωϋσέως.

Πρῶτος πειρασμός.

Περὶ τοῦ κατακλυσμοῦ τῶν Αἰγυπτίων.

Περὶ δικαιωμάτων καὶ κρίσεων καὶ πειρασμοῦ.

Δεύτερος πειρασμός.

Περὶ δέκα πηγῶν καὶ ο΄ φοινίκων.

Ἔν τισιν περὶ ὀρτυγομήτρας καὶ τοῦ μᾶνα.

Τρίτος πειρασμός.

Τέταρτος πειρασμός.

Περὶ σαββάτου.

Πέμπτος πειρασμός.

Περὶ τῆς χρυσῆς στάμνου.

Ἕκτος πειρασμός.

Περὶ τῆς παταχθείσης πέτρας ἐν Χωρήβ. Τὰ κατὰ τὸν Ἰοθώρ.

Περὶ τῆς ἐν Σινᾷ νομοθεσίας.

Περὶ δεκαλόγου. Περὶ ἑορτῶν.

Περὶ τοῦ αἵματος τῆς διαθήκης.

Περὶ πλακῶν τῆς νομοθεσίας.

Περὶ κατασκευῆς τῆς σκηνῆς, καὶ κιβωτοῦ.

Περὶ ἱλαστηρίου καὶ χερουβίμ.

Περὶ τραπέζης καὶ τρυβλίων καὶ θυϊσκῶν καὶ σπονδείων καὶ κυάθων καὶ τῆς λυχνίας.

Περὶ τῶν λύχνων καὶ περὶ τῆς σκηνῆς.

Περὶ τοῦ καταπετάσματος.

Περὶ τοῦ θυσιαστηρίου.

Περὶ ἐνδύματος ἱερέων.

Περὶ τῶν λίθων τῆς γλυφῆς.

Περὶ τοῦ ὑποδύτου, ποδήρη καὶ τῶν κωδώνων.

Περὶ πετάλου, κιδάρεως καὶ ζώνης.

Περὶ τῆς καταστάσεως τῶν ἱερέων.
Περὶ θυσιῶν ἐντελεχισμοῦ.
Περὶ τοῦ θυσιαστηρίου τοῦ θυμιάματος.
Περὶ λύτρων. Περὶ λουτῆρος.
Περὶ τοῦ ἐλαίου τῆς χρίσεως.
Περὶ τοῦ θυμιάματος τῆς συνθέσεως. Περὶ Βεσελεήλ.
Περὶ πλακῶν διαθήκης.
Περὶ μοσχοποιΐας. Περὶ τοῦ ἱλασμοῦ Μωϋσέως. Περὶ συντριβῆς πλακῶν.
Περὶ τῶν ἀνελόντων ἑαυτούς.
Περὶ τοῦ πένθους τοῦ λαοῦ.
Περὶ τῆς σκηνῆς τοῦ Μωυσέως καὶ λειτουργίας Ἰησοῦ.
Περὶ τῆς πρὸς Μωυσέα ὀπτασίας.
Περὶ δευτέρων πλακῶν.
Διαθήκη πρὸς Μωϋσῆν.
Περὶ τῆς δόξης τοῦ προσώπου Μωυσέως.
Περὶ τῶν προσενεγκάντων τὰ ἀφαιρέματα.
Περὶ τοῦ καταπετάσματος.
Περὶ τῶν κατόπτρων τῶν νηστευσασῶν, ὅθεν γέγονεν ὁ λουτήρ.
Περὶ τῆς ἡμέρας ἐν ᾗ ἂν ἱστᾶται ἡ σκηνή.

В с ѣ!

Отдѣленія текста, περικοπαί, означены буквенными цифрами на поляхъ рукописи. Всѣхъ ихъ 47. — Напримѣръ:

ϛ'. Ἑώρων δὲ οἱ γραμματεῖς τῶν υἱῶν Ἰσραὴλ ἑαυτοὺς ἐν κακοῖς λέγοντες· οὐκ ἀπολείψετε ἀπὸ τῆς πλινθείας τὸ καθῆκον τῇ ἡμέρᾳ. συνήντησαν δὲ Μωυσῇ καὶ Ἀαρὼν ἐρχομένοις εἰς συνάντησιν αὐτοῖς.

Послѣ этого 6-го перикопа слѣдуетъ 12-й. Думаю, что краснописецъ забылъ выставить на полѣ цифренныя буквы Z', H', Θ', I', IA' *). Такъ точно въ синае-петербургскомъ Еван-

*) На оборотѣ предпослѣдняго полулиста 14-й тетради вверху на полѣ приписано рукою краснописца:

+ Πρῶτος λόγος Μωυσέως καὶ Ἀαρὼν πρὸς Φαραῶ +

Τάδε λέγει κύριος ὁ θεὸς Ἰσραήλ· ἐξαπόστειλον τὸν λαόν μου· ἵνα ἑορτάσωσί μοι ἐν τῇ ἐρήμῳ. Καὶ εἶπε Φαραώ· τίς ἐστιν οὗ εἰσακούσομαι τῆς φωνῆς αὐτοῦ; . . .

геліи Луки не выставлены главы Евсевія послѣ 116 главы по забвенію или недосугу краснописца.

IB'. Μωυσῆς δὲ καὶ Ἀαρὼν ἐποίησαν πάντα τὰ τέρατα ταῦτα. ἐσκλύρηνε δὲ Κύριος τὴν καρδίαν Φαραὼ καὶ οὐκ ἠθέλησεν ἐξαποστεῖλαι τοὺς υἱοὺς Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου . . . .

Дальше слѣдуетъ законодательство о Пасхѣ.

IΓ'. Καὶ παρελεύσεται Κύριος πατάξαι τοὺς Αἰγυπτίους, καὶ ὄψεται τὸ αἷμα ἐπὶ τῆς φλιᾶς καὶ ἐπ' ἀμφοτέρων τῶν σταθμῶν...

IΔ'. Отдѣленіе не означено буквенною цифрою или по забвенію, или по разсѣянности краснописца.

IE'. Καὶ ἀνηγγέλη τῷ βασιλεῖ τῶν Αἰγυπτίων, ὅτι πέφευγεν ὁ λαὸς καὶ μετεστράφη ἡ καρδία Φαραὼ καὶ τῶν θεραπόντων αὐτοῦ ἐπὶ τὸν λαόν . . .

Iς'. Εἶπε δὲ Κύριος πρὸς Μωυσῆν· Τί βοᾷς πρός με; λάλησον τοῖς υἱοῖς Ἰσραὴλ καὶ ἀναζευξάτωσαν καὶ σὺ ἔπαρον τὴν ῥάβδον σου καὶ ἔκτεινον τὴν χεῖρά σου ἐπὶ τὴν θάλασσαν καὶ ῥῆξον αὐτήν. καὶ εἰσελθέτωσαν οἱ υἱοὶ Ἰσραὴλ εἰς μέσον τῆς θαλάσσης κατὰ τὸ ξηρόν. καὶ ἰδοὺ ἐγὼ σκληρυνῶ τὴν καρδίαν Φαραὼ καὶ τῶν Αἰγυπτίων πάντων καὶ εἰσελεύσονται ὀπίσω αὐτῶν, καὶ ἐνδοξασθήσομαι ἐν Φαραῷ καὶ ἐν πάσῃ τῇ στρατιᾷ αὐτοῦ καὶ ἐν τοῖς ἅρμασι καὶ ἐν τοῖς ἵπποις αὐτοῦ . . .

IZ'. Ἦλθον δὲ εἰς Μερρὰν καὶ οὐκ ἐδύναντο πιεῖν ὕδωρ ἐκ Μερρᾶς· πικρὸν γὰρ ἦν· διὰ τοῦτο ἐπωνομάσθη τὸ ὄνομα τοῦ τόπου ἐκείνου Πικρία. διεγόγγυζεν ὁ λαὸς κατὰ Μωυσῆ λέγοντες· Τί πιόμεθα; ἐβόησε δὲ Μωυσῆς πρὸς Κύριον καὶ ἔδειξεν αὐτῷ Κύριος ξύλον καὶ ἐνέβαλεν αὐτὸ εἰς τὸ ὕδωρ καὶ ἐγλυκάνθη τὸ ὕδωρ. ἐκεῖ ἔθετο αὐτῷ δικαιώματα καὶ κρίσεις· καὶ ἐκεῖ ἐπείραζεν αὐτὸν καὶ εἶπεν· Ἐὰν ἀκοῇ ἀκούσῃς Κυρίου τοῦ θεοῦ σου καὶ τὰ ἀρεστὰ ἐναντίον του ποιήσῃς, καὶ ἐνωτίσῃ τὰς ἐντολὰς αὐτοῦ καὶ φυλάξῃ πάντα τὰ δικαιώματα αὐτοῦ...

IH'. Ἕκαστος ἐν τοῖς συσκήνοις ὑμῶν συλλέξατε καὶ ἐποίησαν οὕτως οἱ υἱοὶ Ἰσραὴλ καὶ συνέλεξαν ὁ τὸ πολὺ, καὶ ὁ τὸ ἔλαττον· καὶ ἐμέτρησαν τὸ γομὸρ καὶ οὐκ ἐπλεόνασεν ὁ τὸ πολὺ καὶ ὁ τὸ ἔλαττον οὐκ ἠλαττώνησεν . . .

IΘ'. Ἐβόησε δὲ Μωυσῆς πρὸς Κύριον λέγων· Τί ποιήσω τῷ

λαῷ τούτῳ; ἔτι μικρὸν καὶ καταλιθοβολήσουσί με. καὶ εἶπε Κύριος πρὸς Μωυσῆν· Προπορεύου τοῦ λαοῦ τούτου, λάβε δὲ μετὰ σεαυτοῦ ἀπὸ τῶν πρεσβυτέρων τοῦ λαοῦ καὶ τὴν ῥάβδον . . .

Κ'. Ἐξέστη δὲ Ἰοθὼρ ἐπὶ πᾶσι τοῖς ἀγαθοῖς, οἷς ἐποίησε Κύριος αὐτοῖς. ὅτι ἐξείλετο αὐτοὺς ἐκ χειρὸς Αἰγυπτίων καὶ ἐκ χειρὸς Φαραώ. καὶ εἶπεν Ἰοθώρ· Εὐλογητὸς Κύριος . . .

ΚΑ'. Καὶ Μωυσῆς ἀνέβη εἰς τὸ ὄρος τοῦ θεοῦ καὶ ἐκάλεσεν αὐτὸν ὁ θεὸς ἐκ τοῦ ὄρους λέγων· Τάδε ἐρεῖς τῷ οἴκῳ Ἰακώβ . . .

ΚΒ'. Οὐ λήψῃ τὸ ὄνομα κυρίου τοῦ θεοῦ σου ἐπὶ ματαίῳ, οὐ γὰρ μὴ καθαρίσῃ κύριος τὸν λαμβάνοντα τὸ ὄνομα αὐτοῦ ἐπὶ ματαίῳ . . .

ΚΓ'. ΚΔ'. ΚΕ'. Отдѣленія не означены цифрами по невниманію краснописца.

Κϛ'. Καὶ ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσώπου σου, ἵνα φυλάξῃ σὲ ἐν τῇ ὁδῷ, ὅπως εἰσαγάγῃ σὲ εἰς τὴν γῆν ἣν ἡτοίμασά σοι· πρόσεχε σεαυτῷ καὶ εἰσάκουε αὐτοῦ· μὴ ἀπείθει αὐτῷ . . .

ΚΖ'. Λαβὼν δὲ Μωυσῆς τὸ ἥμισυ τοῦ αἵματος ἐνέχεεν εἰς κρατῆρα, τὸ δὲ ἥμισυ τοῦ αἵματος προσέχεε πρὸς τὸ θυσιαστήριον. καὶ λαβὼν τὸ βιβλίον τῆς διαθήκης. . .

ΚΗ'. Καὶ ποιήσεις ἱλαστήριον ἐπίθεμα χρυσίου καθαροῦ δύο πήχεων καὶ ἡμίσους τὸ μῆκος, καὶ πήχεος καὶ ἡμίσους τὸ πλάτος· καὶ ποιήσεις δύο χερουβὶμ χρυσᾶ . . .

ΚΘ'. Καὶ τὴν σκηνὴν ποιήσεις δέκα αὐλαίας βύσσου κεκλωσμένης . . .

Λ'. Καὶ ποιήσεις μοχλοὺς ἐκ ξύλων ἀσήπτων, πέντε τῷ ἑνὶ στύλῳ ἐκ τοῦ ἑνὸς μέρους . . .

ΛΑ'. Τὸ δὲ εὖρος τῆς αὐλῆς τὸ κατὰ θάλασσαν ἱστία πεντήκοντα πήχεων . . .

ΛΒ'. Καὶ ποιήσεις λόγιον τῶν κρίσεων ἔργον ποικιλτοῦ, κατὰ τὸν ῥυθμὸν τῆς ἐπωμίδος ποιήσεις αὐτὸ . . .

ΛΓ'. Καὶ ποιήσεις κίδαριν βυσσίνην καὶ ζώνην ποιήσεις ἔργον ποικιλτοῦ . . .

ΛΔ′. Καὶ λήψῃ τὸν κριὸν τὸν δεύτερον καὶ ἐπιθήσει Ἀαρὼν καὶ οἱ υἱοὶ τὰς χεῖρας αὐτῶν . . .

ΛΕ′. Καὶ σπονδὴν τὸ τέταρτον τοῦ εἲν οἴνου τῷ ἀμνῷ τῷ ἑνὶ καὶ τὸν ἀμνὸν τὸν δεύτερον . . .

Λϛ′. Καὶ ἐλάλησε Κύριος πρὸς Μωυσῆν λέγων· Ἐὰν λάβῃς τὸν συλλογισμὸν τῶν υἱῶν Ἰσραὴλ ἐν τῇ ἐπισκοπῇ αὐτῶν καὶ δώσουσιν ἕκαστος λύτρα τῆς ψυχῆς αὐτοῦ τῷ Κυρίῳ . . .

ΛΖ′. Καὶ φυλάξουσιν οἱ υἱοὶ Ἰσραὴλ τὰ σάββατα ποιεῖν αὐτὰ εἰς γενεὰς αὐτῶν . . .

ΛΗ′. Καὶ εἶπεν Ἀαρὼν πρὸς Μωυσῆν· Μὴ ὀργίζου, κύριε. σὺ γὰρ οἶδας τὸ ὅρμημα τοῦ λαοῦ τούτου . . .

ΛΘ′. Καὶ ἐγένετο· πᾶς ὁ ζητῶν Κύριον ἐξεπορεύετο εἰς τὴν σκηνὴν ἔξω τῆς παρεμβολῆς . . .

Μ′. Καὶ σπεύσας Μωυσῆς, κύψας ἐπὶ τὴν γῆν, προσεκύνησε καὶ εἶπεν· Εἰ εὕρηκα χάριν ἐνώπιόν σου, συμπορευθήτω Κύριος μεθ᾽ ἡμῶν . . .

ΜΑ′. Καὶ εἶδεν Ἀαρὼν καὶ πάντες οἱ υἱοὶ Ἰσραὴλ τὸν Μωυσῆν· καὶ ἦν δεδοξασμένη ἡ ὄψις τοῦ χρωτὸς τοῦ προσώπου αὐτοῦ . . .

ΜΒ′. Καὶ πᾶσαι αἱ γυναῖκες, αἷς ἔδοξε τῇ διανοίᾳ αὐτῶν ἐν σοφίᾳ, ἔνησαν τὰς τρίχας τὰς αἰγείας . . .

ΜΓ′. Καὶ ἐποίησε λόγιον ἔργον ὑφαντὸν ποικιλίᾳ κατὰ τὸ ἔργον τῆς ἐπωμίδος ἐκ χρυσίου καὶ ὑακίνθου καὶ πορφύρας . . .

ΜΔ′. Καὶ ἔγραψεν ἐπ᾽ αὐτὸ γράμματα ἐκτετυπωμένα σφραγῖδος ἁγίασμα Κυρίῳ . . .

ΜΕ′. Καὶ ἐποίησε τὴν τράπεζαν τὴν προκειμένην ἐκ χρυσίου καθαροῦ . . .

Μϛ′. Ἐγένετο χρυσίου τοῦ της ἀπαρχῆς ἐννέα καὶ εἴκοσι τάλαντα καὶ ἑπτακόσιοι καὶ τριάκοντα σίκλοι κατὰ τὸν σίκλον τὸν ἅγιον . . .

ΜΖ′. Καὶ προσάξει Ἀαρὼν καὶ τοὺς υἱοὺς αὐτοῦ ἐπὶ τὰς θύρας τῆς σκηνῆς τοῦ μαρτυρίου . . .

(В с е).

Толкованія. Σχόλια.

Всѣхъ ихъ 72. Они писаны на поляхъ страницъ и означены цифрен. буквами, напр.: ΚΔ'. ΚΕ'. ΞΔ'...

Θεοδωρήτου ἐπισκόπου Κύρου. — Πῶς νοητέον τὸ χυδαῖοι ἐγένοντο; οὐχ ὡς τινὲς νενοήκασιν ὑβριστικῶς αὐτὸ τέθεικεν, ἀλλὰ τὸ πλῆθος ἐδήλωκεν· οὕτως γάρ, φησί, ηὐξήθησαν, ὡς κατὰ πάσης ἐκείνης ἐκχεθῆναι τῆς γῆς. οὕτως καὶ οἱ περὶ τὸν Ἀκύλαν ἡρμήνευσαν. τοῦτο δὲ καὶ τὰ ἑξῆς δηλοῦσι· ἐπλήθυνε γάρ, φησί, ἡ γῆ αὐτούς.

12,35 | Οἱ δὲ υἱοὶ Ἰσραὴλ... ᾔτησαν παρὰ τῶν Αἰγυπτίων σκεύη χρυσᾶ καὶ ἀργυρὰ καὶ ἱματισμὸν ΚΓ'.

ΚΓ'. Αἰτιῶνταί τινὲς τὸ προστεταχθέναι τὸν θεὸν τοῖς Ἑβραίοις αἰτῆσαι τοὺς Αἰγυπτίους σκεύη χρυσᾶ καὶ ἀργυρᾶ καὶ ἐσθῆτα. καὶ σκυλεῦσαι τοὺς Αἰγυπτίους. οὕτω γὰρ ὁ Σύμμαχος τὸ σκευάσασθαι ἔφησεν. πολὺν ἐν Αἰγύπτῳ πόνον ὑπέμεινεν ὁ λαὸς πλινθουργῶν καὶ τειχοποιῶν καὶ πόλεις οἰκοδομῶν. ἐβουλήθη τοίνυν μισθὸν αὐτοὺς λαβεῖν ὁ δεσπότης θεός. διὸ δὴ καὶ ταῦτα δρᾶσαι προσέταξε.

ΝΒ. — Περὶ τοῦ πάσχα. — Ταῦτα δὲ πάντα τῶν ἡμετέρων ἐστὶ μυστηρίων αἰνίγματα· χρίομεν γὰρ καὶ ἡμεῖς τῷ αἵματι τοῦ ἡμετέρου ἀμνοῦ οὐ μόνον τὴν φλιάν, ἀλλὰ καὶ τοὺς δύο σταθμούς· κατὰ μὲν τὸ ὁρώμενον τὴν γλῶτταν καὶ τὰ χείλη καθαίροντές τε καὶ ἁγιάζοντες, κατὰ δὲ τὸ νοούμενον ἀντὶ μὲν φλιᾶς τὸ λογικόν, ἀντὶ δὲ τῶν δύο σταθμῶν τὸ θυμοειδὲς καὶ τὸ ἐπιθυμητικόν.

14,20-21 | Καὶ οὐ συνέμιξαν ἀλλήλοις ὅλην τὴν νύκτα. ΚΕ'. Ἐξέτεινε δὲ Μωυσῆς τὴν χεῖρα ἐπὶ τὴν θάλασσαν· καὶ ὑπήγαγε Κύριος τὴν θάλασσαν ἐν ἀνέμῳ νότῳ βιαίῳ.

ΚΕ'. Τινὲς φασὶ εἰς ιβ' διαιρέσεις διαιρεθῆναι τὴν θάλασσαν καὶ ἑκάστην φυλὴν καθ' ἑαυτὴν διαβῆναι. καὶ τοῦτο νομίζουσι τὸν μακάριον Δαβὶδ εἰρηκέναι· «τῷ καταδιελόντι τὴν ἐρυθρὰν θάλασσαν εἰς διαιρέσεις». ἐγὼ δὲ διχῇ

νομίζω τμηθῆναι τὸ πέλαγος· τοῦτο γὰρ καὶ ἡ θεία διδάσκει Γραφή· «τὸ δὲ ὕδωρ αὐτοῖς τεῖχος ἐκ δεξιῶν καὶ τεῖχος ἐξ εὐωνύμων». Египтяне потонули за то, что дѣтей еврейскихъ топили въ водѣ.

17,9 | Καὶ ἐπολέμησεν Ἰσραὴλ ἐν Ῥαφιδείν ΛΒ΄. Εἶπε δὲ Μωϋσῆς τῷ Ἰησοῦ· Ἐπίλεξαι σεαυτῷ ἄνδρας καὶ ἐξελθὼν παράταξαι τῷ Ἀμαλὴκ . . .

ΛΒ΄. Ποίοις ὅπλοις ἐχρῶντο τὸν Ἀμαλὴκ πολεμοῦντες; τῶν Αἰγυπτίων ὑποβρυχίων γεγεννημένων ἐξεβράσθη αὐτῶν τὰ σώματα εἰς τὴν ἠϊόνα μετὰ τῶν ὅπλων. ταῦτα σκυλεύσαντες ἐχρῶντο τούτοις ἐν τοῖς πολέμοις.

20,2-4 | Ἐγώ εἰμι Κύριος ὁ θεός σου ὁ ἐξαγαγών σε ἐκ γῆς Αἰγύπτου, ἐξ οἴκου δουλείας. ΛΖ΄. Οὐκ ἔσονται σοὶ θεοὶ ἕτεροι πλὴν ἐμοῦ. ΛΗ΄. Οὐ ποιήσεις σεαυτῷ εἴδωλον· οὐδὲ πᾶν ὁμοίωμα ὅσα ἐν τῷ οὐρανῷ ἄνω, καὶ ὅσα ἐν τῇ γῇ κάτω . . .

ΛΖ΄. Πῶς νοητέον τό· οὐκ ἔσονται σοι οἱ θεοὶ ἕτεροι πλὴν ἐμοῦ; οἱ μίαν οὐσίαν τῆς τριάδος ὁμολογοῦντες φυλάττουσι τὸν νόμον τῆς θείας φωνῆς· ἄλλο γάρ τι παρὰ τὴν θείαν φύσιν θεοποιεῖν οὐκ ἀνέχονται. οἱ δὲ τὴν Ἀρείου καὶ Εὐνομίου περικείμενοι λώβην τὸν θεῖον νόμον παραβαίνουσι, θεὸν μὲν τὸν υἱὸν ὁμολογοῦντες, κτιστὸν δὲ ἀποκαλοῦντες καὶ τῆς θείας οὐσίας ἀλλότριον· τοῦ γὰρ θεοῦ λέγοντος οὐκ ἔσονται σοὶ θεοὶ ἕτεροι πλὴν ἐμοῦ, οὗτοι ἕτερον θεὸν ἐπεισάγουσιν.

ΛΗ΄. Εἴδωλον καὶ ὁμοίωμα ποίαν ἔχει διαφοράν; τὸ εἴδωλον οὐδεμίαν ὑπόστασιν ἔχει, τὸ δὲ ὁμοίωμα τινός ἐστιν ἴνδαλμα καὶ ἀπείκασμα. ἐπειδὴ τοίνυν Ἑλ-

λ η ν ε ς ἀναπλάττουσι τὰς οὐχ ὑφεστώσας μορφὰς σφιγγίας καὶ τρίτωνας καὶ κενταύρους, καὶ Α ἰ γ ύ π τ ι ο ι κυνοπροσώπους καὶ βουκεφάλους, εἴδωλα καλεῖ τὰ τῶν οὐχ ὑφεστώτων μιμήματα. τὰ δὲ τῶν ὑφεστώτων, εἰκάσματα, οἷον ἡλίου, σελήνης ἀστέρων, ἀνθρώπων θηρίων . . .

21,32 | Ἐὰν δὲ ἐξεικονισμένων ᾖ, δώσει ψυχὴν ἀντὶ ψυχῆς, ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ. ΜΗʹ.

ΜΗʹ. Τί ἐστὶν ἐξεικονισμένον; φασὶ τοῦ σώματος ἐν τῇ μήτρᾳ τελείου διαπλασθέντος τότε ψυχοῦσθαι τὸ ἔμβρυον. καὶ γὰρ τοῦ Ἀδὰμ τὸ σῶμα πρότερον ὁ ποιητὴς διαπλάσας οὕτως ἐνεφύσησε τὴν ψυχήν. κελεύει τοίνυν ὁ νομοθέτης γυναικὸς ἐγκυμονούσης ἀμβλωσάσης ἐν μάχῃ, εἰ μὲν ἐξεικονισμένον ἐξέλθοι τὸ βρέφος, τουτέστι μεμορφωμένον, φόνον τὸ πρᾶγμα καλεῖσθαι καὶ τὴν ἴσην ὑπέχειν τιμωρίαν τὸν δεδρακότα· εἰ δὲ μὴ ἐξέλθοι μεμορφωμένον, μὴ λογίζεσθαι φόνον ἐπειδήπερ οὐδέπω ψυχωθὲν ἐξημβλώθη, ἀλλὰ ζημίαν τείνειν τὸν αἴτιον.

23,26 | Οὐκ ἔσται ἄγονος οὐδὲ στεῖρα ἐπὶ τῆς γῆς σου, τὸν ἀριθμὸν τῶν ἡμερῶν σου ἀναπληρώσω. ΝΖʹ.

ΝΖʹ. Πῶς νοητέον· τὸν ἀριθμὸν τῶν ἡμερῶν σου ἀναπληρώσω; τὴν ὡρισμένην φασὶ τοῖς ἀνθρώποις ζωήν, τούτεστιν εἰς γῆρας μακρὸν ἐλθεῖν σε παρασκευάσω.

ΝΒ. — Ἐπέκειτο τῇ κεφαλῇ κίδαρις τὸν οὐρανὸν μιμουμένη· ἐκάλυπτε δὲ καὶ ταινία τῷ μετώπῳ, ἣν μίτραν εἶπον οἱ ἑβδομήκοντα· εἶχε δὲ ἐν μέσῳ πέταλον αὔτη χρυσοῦν ἐγγεγραμμένον, ἔχον τοῦ θεοῦ τὸ ἄφραστον τὸ ὄνομα, ὃ καλοῦσιν Ἑ β ρ α ῖ-

οι τετράγραμμον . . . . . Ἐκέλευσε δὲ αὐτῷ καὶ ἐφεστρίδα γενέσθαι, ἣν ἑβδομήκοντα ἐπωμίδα ἐκάλεσαν· ἐν δὲ ταῖς Βασιλείαις εὑρίσκομεν ἐφοὺδ αὐτὴν κατὰ τὴν Ἑβραίων γλῶτταν ὠνομασμένην.

29,40 | Καὶ δέκατον σεμιδάλεως πεφυραμένης ἐν ἐλαίῳ κεκομμένῳ τῷ τετάρτῳ τοῦ εἶν. ΞΔ΄. καὶ σπονδὴν τὸ τέταρτον εἶν οἴνου τῷ ἀμνῷ τῷ ἑνί.

ΞΔ΄. Τί ἐστὶ τὸ εἶν; μέτρον Ἑβραϊκὸν οἴνου καὶ ἐλαίου. δέχεται δέ, ὡς φησὶ ὁ Ἰώσηππος, δύο χόας ἀττικούς. πιστευτέον δὲ ἐν τούτοις αὐτῷ, ἀκριβῶς τοῦ ἔθνους τὰ μέτρα ἐπισταμένῳ.

Книга Левитъ.

Λευιτικόν.

Начинается такъ: Καὶ ἀνεκάλεσε Μωϋσῆν καὶ ἐλάλησε Κύριος αὐτῷ ἐκ τῆς σκηνῆς τοῦ μαρτυρίου λέγων· λάλησον τοῖς υἱοῖς Ἰσραὴλ· καὶ ἐρεῖς πρὸς αὐτούς· ἄνθρωπος ἐξ ὑμῶν ἐὰν προσαγάγῃ δῶρα τῷ Κυρίῳ . . .

Оканчивается такъ: . . . καὶ τὸ ἄλλαγμα αὐτοῦ ἔσται ἅγιον· οὐ λυτρωθήσεται. Αὗται αἱ ἐντολαί, ἃς ἐνετείλατο Κύριος τῷ Μωϋσῇ πρὸς τοὺς υἱοὺς Ἰσραὴλ ἐν τῷ ὄρει Σινᾶ.

Λευιτικόν.
ἔχει στίχους
͵ΒΨ (=2700).

Κεφάλαια τοῦ Λευιτικοῦ.

α) Νόμοι περὶ δώρων προσαγομένων θεῷ.
β) Περὶ θυσίας πρωτογεννημάτων.
γ) Περὶ θυσίας σωτηρίου.
δ) Περὶ θυσιῶν τῶν περὶ ἁμαρτίας.
ε) Περὶ τῆς ἁμαρτίας τοῦ ἱερέως καὶ τοῦ λαοῦ.
ς) Περὶ θυσίας ἄρχοντος ἐὰν ἁμάρτῃ.
ζ) Περὶ ψυχῆς μιᾶς ἐὰν ἁμάρτῃ.
η) Περὶ ὁρκισμοῦ καὶ ἀκουσίου ἁμαρτήματος.
θ) Περὶ ὅρκου παρακαταθήκης.
ϊ) Περὶ ὁλοκαυτώσεως νόμος.

ια) Περὶ θυσίας τῶν ἱερέων.
ιβ) Περὶ τοῦ μὴ δεῖν θυσίαν τριταῖον ἐσθίειν.
ιγ) Περὶ τοῦ μὴ ἐσθίειν μήτε στέαρ μήτε αἷμα.
ιδ) Περὶ τοῦ ἀφαιρέματος τῶν θυσιῶν.
ιε) Περὶ ἀρχιερατικοῦ χρίσματος.
— Περὶ Ναδὰβ καὶ Ἀβιοὺδ.

и т.д. и т.д.

Отдѣленія текста. Περικοπαί:

Α'. Καὶ ἀνεκάλεσε Μωυσῆν . . .

Β'. Ἐὰν δὲ ἀπὸ τῶν προβάτων τὸ δῶρον αὐτοῦ τῷ Κυρίῳ, ἀπό τε των ἀρνῶν καὶ τῶν ἐρίφων . . . .

Γ'. Καὶ προσοίσει ἀπὸ τῶν τρυγόνων . . .

Δ'. Ἐὰν δὲ ψυχὴ προσφέρῃ δῶρον θυσίαν τῷ Κυρίῳ, σεμίδαλις ἔσται τὸ δῶρον αὐτοῦ . . .

Ε'. Ἐὰν δὲ προσφέρῃ δῶρον θυσίαν πεπεμμένην ἐν κλιβάνῳ ἐκ σεμιδάλεως . . .

ϛ'. Καὶ διαθρύψεις αὐτὰ κλάσματα καὶ ἐπιχεεῖς ἐπ' αὐτὰ ἔλαιον· θυσία ἐστὶ Κυρίῳ. Ἐὰν δὲ θυσία ἀπὸ ἐσχάρας τὸ δῶρον σου, σεμίδαλις ἐν ἐλαίῳ ποιηθήσεται . . .

и т.д. и т.д.

Ξ'. въ концѣ: Ἐὰν δὲ ἐπὶ τούτοις μὴ ὑπακούσητέ μου, ἀλλὰ πορεύησθε πρός με πλάγιοι . . .

ΞΑ'. Καὶ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν λέγων· Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ καὶ ἐρεῖς πρὸς αὐτούς· Ἄνθρωπος, ὃς ἂν εὔξηται εὐχὴν ὥστε τιμὴν τῆς ψυχῆς αὐτοῦ τῷ Κυρίῳ . . .

Толкованія. Σχόλια.

Толкованія Оригена, Кирилла, Кирилла Александрійскаго, Аполлинарія, Евсевія Емисскаго, Севира Антіохійскаго и другихъ писаны на поляхъ пергамина.

— Τίνος χάριν τὰς θυσίας προσφέρεσθαι προσέταξεν ὁ θεός; Πολλαχοῦ μεν ἡμῖν εἴρηται περὶ τούτων κἂν τοῖς πρὸς Ἕλληνας συγγεγραμμένοις, κἂν τοῖς πρὸς τὰς αἱρέσεις, καὶ μέντοι κἂν τοῖς

НАУЧНАЯ ... [library stamp]

πρὸς τοὺς μάγους, πρὸς δὲ τούτοις κἀν ταῖς τῶν προφητῶν ἑρμηνείαις καὶ τοῖς τῶν ἀποστολικῶν ἐπιστολῶν ὑπομνήμασιν. ἐρῶ δὲ αὐτὰ ἐν κεφαλαίῳ . . .

— Εὐσεβίου Ἐμίσης: Ἄλλο ἁμαρτίας δῶρον καὶ ἄλλο πλημμελείας· ἁμαρτίαν μὲν γὰρ τὴν ἐν γνώσει λέγει, πλημμελείαν δὲ τὴν ἐν ἀγνοίᾳ.

18,21 | Καὶ ἀπὸ τοῦ σπέρματός σου οὐ δώσεις λατρεύειν ἄρχοντι, καὶ οὐ βεβηλώσεις τὸ ὄνομά μου τὸ ἅγιον· ἐγὼ Κύριος ΚΕ΄ . . .

ΚΕ΄. Τὸ Ἑβραϊκὸν τῷ Μολὸχ ἔχει, καὶ οἱ λοιποὶ δὲ ἑρμηνευταὶ τοῦτο τεθείκασιν. εἴδωλον δὲ τοῦτο ἦν. ἀπαγορεύει τοίνυν τὸ τοὺς παῖδας ἱεροδούλους τοῖς εἰδώλοις προσφέρειν. ὡς δέ τινες φασί, τὸ τοῖς ἀλλοφύλοις ἄρχουσι μὴ διδόναι τοὺς παῖδας, ὥστε εἶναι αὐτῶν οἰκέτας ἢ δορυφόρους. Толкованіе неизвѣстнаго.

Толкованія Оригена, Кирилла и прочихъ писаны другою рукою въ XIII вѣкѣ весьма мелко и стенографически. А толкованія неизвѣстнаго, по большей части аллегорическія, иносказательно передаютъ смыслъ Священ. Писанія.

По окончаніи Книги Левитъ приписано:

— Ἐκ τῶν Εὐσεβίου· — Διὰ τί Λευιτικὸν ἐκλήθη; α) Ἐπειδὴ ἰδικῶς τοῦτο τὸ βιβλίον πᾶσαν τῆς Λευιτικῆς λειτουργείας τὴν διατύπωσιν περιέχει· β) καὶ πῶς ὁ Ἀαρὼν καὶ οἱ υἱοὶ αὐτοῦ ἐκλέγονται ἐκ τῆς φυλῆς Λευῒ καὶ χρίονται εἰς ἱερεῖς. γ) πᾶσαν τὴν διαφορὰν τῶν θυσιῶν καὶ τῶν προσφορῶν καὶ τὴν ποιότητα πᾶσαν τῆς ἐν τῷ ἱερῷ λατρείας καὶ λευιτικῆς καὶ ἱερατικῆς λειτουργείας διηγεῖται καὶ τὸν νόμον ἑκάστης θυσίας, περί τε τοῦ σωτηρίου· καὶ τοῦ ἀκουσίου πλημμελήματος. . . . Конецъ (послѣ исчисленія нечистыхъ животныхъ): φανερὸν μὲν γὰρ ἦν πᾶσι ταῦτα βδελυκτὰ εἶναι καὶ μισητά, ὅμως δὲ καὶ ἐμνημόνευσεν ἐν τῷ Δευτερονομίῳ περὶ αὐτῶν. —

[Далѣе оглавленіе книги Левитъ (κεφάλαια τοῦ Λευϊτικοῦ) въ 38 главахъ съ припиской рукой XIII—XIV вѣка:

Στίχοι εἰς Θεοδώρητον τοῦ Εὐχαΐτων:
Ὁμοῦ ἱστορήσας [ ] διδασκάλους καὶ τὸν Θεοδώρητον ἐν τούτοις γράφω.

Пергаменные листы, служащіе переплетомъ р-си, содержатъ почти $1^1/_2$ тетради изъ богослужебной книги Παρακλητική.]

17 января 1861 года.
Джуванія въ Каирѣ.

№ 5 (44).

Ψαλτήριον на пергаминѣ, $112^1/_2$ года in 4^0, [205×155; 150×100; по 20 строкъ на страницѣ;] съ Прогностикомъ и Пасхаліею, которая начинается съ 6630 года и оканчивается 6643 годомъ.

Смотри у меня почеркъ этой рукописи въ греч. Палеографіи [одинъ листъ въ собраніи Порфирія Имп. Публ. Библ. 268; сравн. табл. 56.

Тетради нумерованы отъ α′ до κη′ (въ κη′ только 4 лл.)] [$27^1/_2$ тетрадей *A*].

[Содержаніе:

1) Съ л. 1ª (въ заст.) Ψαλτήριον τὸ τερπνὸν εἰς θεὸν μέλος ※
Μακάριος ὁ ἀνὴρ . . .

На л. 8ᵇ тетради ιβ′ послѣ псалма 76-го есть миніатюра грубая съ подписью: δέχεται μωσῆς τὰς πλάκας οὐρανόθεν.

На тетрадяхъ α′ — κγ′ всѣ псалмы.

На тетрадяхъ κδ′—κς′ л. 2ª:

α′. Ὠιδὴ Μωϋσέως ἐν τῇ Ἐξόδῳ +
β′. Ὠιδὴ Μωϋσέως ἐν τῷ Δευτερονομίῳ +
γ′. Προσευχὴ Ἄννης μητρὸς Σαμουὴλ +
δ′. Ὠιδὴ Ἀμβακοὺμ τοῦ προφήτου +
ε′. Προσευχὴ Ἡσαΐου τοῦ προφήτου +
ς′. Προσευχὴ Ἰωνᾶ τοῦ προφήτου +
ζ′. Προσευχὴ τῶν ἁγίων γ′ παίδων +
η′. Ὕμνος τῶν ἁγίων γ′ παίδων +

θ'. Ὠιδὴ Μαρίας τῆς θεοτόκου +

Προφητεία Ζαχαρίου ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου εὐαγγελίου +

Προσευχὴ Ἐζεκίου βασιλέως +

Προσευχὴ Μανασσῆ βασιλέως τῆς Ἰουδαίας +

2) Тетр. κς' л. 2^a—5^b. Τυπικὰ τῆς ἁγιωτάτης καθολικῆς ἐκκλησίας τὰ κατὰ συνήθειαν ἠκριβωμένα: —

Ὁ μονογενὴς υἱὸς . . .

3) Тетр. κς' л. 6^a — тетр. κζ' л. 4^a. Календарь.

4) Тетр. κζ' л. 4^b—6^b. Βροντολόγιον σὺν θεῷ τοῦ ὅλου χρόνου. ἀρχόμενον ἀπὸ μηνὸς ἀπριλλίου μέχρι μαρτίου μηνός: —

α'. μηνὶ ἀπριλλίῳ. Ἐὰν βροντῆ . . . всего 12 главъ.

5) Тетр. κζ' л. 6^b—7^a. Εἰσὶν αἱ ἐναντίαι ἡμέραι, ἃς ὀφείλει φυλάττειν ὁ ἄνθρωπος τῶν μηνῶν τοῦ ὅλου χρόνου αὗται: —

6) Л. 7^a—8^a. Διάγνωσις ἀκριβὴς περὶ τῶν ἀσθενούντων.

7) Л. 8^a. Περὶ τοῦ γινώσκειν τὸν ποιμενικὸν ψῆφον τῆς σελήνης.

8) Л. 8^b — тетр. κη' л. 2^b. Τριαδικὰ τῶν ὀκτὼ ἤχων.

9) Л. 2^b. Ἐξαποστειλάριον τῶν ὀκτὼ ἤχων ψαλλόμενον ἐν ταῖς ἡμέραις τῶν νηστειῶν.

10) Л. 3^{a-b}. Ὡρολόγιον γνωριζόμενον ἀπὸ τῆς ἰδίας σκιᾶς.

11) Л. 3^b—4^b. Πασχάλια, ἃ ὀφείλομεν κρατεῖν καὶ εὑρίσκειν τὸ κατὰ καιρὸν γίνεσθαι πάσχα. Начиная съ ,ςχλ' года и кончая ,ςχμγ', послѣ чего карандашомъ помѣтка Порфирія: 1122.]

№ 6.

Ψαλτήριον на пергаминѣ, in 12°, 1198 года, краснописецъ Іоаннъ Дросинъ въ Тосканѣ [какъ видно изъ записи]:

Ἐτελειώθη διὰ χειρὸς Ἰωάννου τοῦ Δροσινοῦ εἰς τὴν Τοσκάναν ἔνδοθεν κάστρου τοῦ Ὀρμιπεβέτου, μηνὶ μαρτίῳ κε' ,ςψς' ἰνδικτιῶνος ι'.

№ 7.

Ψαλτήριον на хлопчатной бумагѣ, in folio, 1288 года. На

этой Псалтири приписано по арабски, что она принадлежитъ Синайск. м-рю, и намѣченъ годъ 6796-й.

№ 8 (94).

Ψαλτήριον на хлопчатной бумагѣ [лл. 204; размѣръ 210×145; 149×98; тетради нумерованы съ α' до κς'.

На л. 203ᵃ запись]:

Ἐγράφη τὸ παρὸν ἥμισιν τῶν ψαλμῶν βιβλιδούς· ἐγράφη μετὰ τοῦ πρωτοτύπου ἡμίσεως ἐν τῇ μονῇ τοῦ ἁγίου ὄρους Σινά· χειρὶ μὲν τοῦ πτωχοῦ καὶ ἁμαρτωλοῦ καὶ ξένου [1]), προτροπῇ δὲ τοῦ ἐν αὐτῇ τῇ μονῇ πανιερωτάτου ἐπισκόπου Ἀ ρ σ ε ν ί ο υ, μηνὸς σεπτεμβρίου δ': ἰνδικτιῶνος δ' ἔτη ,ςωβ':

[Значитъ р-сь не] 1294 г., [а 1293.

Послѣ текста всѣхъ псалмовъ на л. 184ᵃ помѣтка писца:

Ὁμοῦ ψαλμοὶ ρν': δόξαι ξ': καθίσματα κ':

а затѣмъ на л. 184ᵃ и слѣдд. идутъ: ᾠδὴ α'. Βοηθὸς καὶ σκεπαστὴς ἐγένετό μοι ... и слѣдд., кончая ἦχος πλαγίου δ'. Αἱ γενεαὶ πᾶσαι ὕμνοις τοὺς πατέρας τιμήσωμεν ἀξίως:—]

№ 9.

Ψαλτήριον на пергаминѣ. И эта Псалтирь написана Евксеномъ при Синайскомъ епископѣ Гавріилѣ въ сентябрѣ м-цѣ 6805 (=1297) года [, правильнѣе: 1296].

№ 10 (55).

Ψαλτήριον на чистомъ бѣломъ пергаминѣ, 1344 года, in 8⁰ [175×117; 100×68; лл. 272 въ тетрадяхъ α'—λδ'.

На л. 272ᵇ запись]:

Θεοῦ τὸ δῶρον καὶ Χ α ρ ί τ ω ν ο ς πόνος· ἐτελειώθη ἐν ἔτει ,ςωνβ' ἰνδικτιῶνος ιβ': —

[Содержаніе:

лл. 1ᵃ—252ᵇ всѣ 150 псалмовъ;

[[1]) Εὐξένου, вм. καὶ ξένου, читаютъ *Порфирій* и *Антонинъ*. Правильно у *Гардтгаузена*: nomen scribae desideratur.]

л. 253^{а}—272^{а} Ὠιδὴ Μωϋσέως ἐν τῇ Ἐξόδῳ. Ἄισωμεν τῷ κυρίῳ· ἐνδόξως γὰρ δεδόξασται:

ᾠδὴ α'. Ἵππον καὶ . . . θάλασσαν. Βοηθὸς καὶ σκεπαστὴς... и слѣдд., кончая: . . . . Τοῦ κατευθῦναι τοὺς πόδας ἡμῶν εἰς ὁδὸν εἰρήνης:]

№ 11 (27).

Ψαλτήριον ἐξηγητικὸν κατὰ σειρὰν διαφόρων πατέρων [надписано на корешкѣ, а на верхней доскѣ переплета: Ψαλτηρίου ἐξήγησις κατὰ σειρὰν διαφόρων διδασκάλων καὶ ῥητόρων], 1452 года, на бумагѣ, in folio [282×208; 205×140; по 32 строки;] [лл. 495 *Δ*].

[Начинается на] л. 1^{а} (заст.) Δαυὶδ τὸ πρῶτον ᾆσμα τῶν ψαλμῶν βάσις.

Μακάριος ὁ . . . οὐκ ἐκάθισεν. Ὁ ἅγιος Βασίλειος. Τὸ μακάριος . . .

Толкованія Василія Вел., Аѳанасія Алекс., Θеодорита, Оригена, Евсевія, Дидима, Исихія, Аполинарія, Іеронима, Григорія Богослова, Григорія Нисск. и друг.; иногда сопоставляются тексты Акилы и Симмаха.

На послѣднемъ листѣ recto запись:

Ἐπίγραμμα εἰς τὸν ψαλτήραν Δαυίδ.

Ἄκουε Δαυὶδ τοῦ παρ' ἡμῖν Ὀρφέως.
Φόρμιγγα κίνει μυστικῆς μελῳδίας.
Σιγᾶν δὲ ποιεῖ τῶν παθῶν τὰ θηρία·
Ὅταν σφαλεῖσα τοῦ πρέποντος ἡ φύσις·
Πρὸς θηριώδεις ἐκτραπῇ δυσμορφίας·
Καὶ τῶν χαμερπῶν ἐξανιστᾷ φροντίδων·
Πρὸς τὴν ἐν ἔργοις ψυχικὴν σωτηρίαν:
Τοῦ πνεύματος τὰ θεῖα τόξα καὶ τὰ βέλη·
Τείνας ὁ Δαυὶδ ψαλμοκινήτῳ λύρᾳ
Ἅπασαν ὄντως προσβολὴν μὲν δαιμόνων·
Ψάλλει τιτρώσκει καὶ διώκει καὶ τρέπει.
Πιστῶν δὲ πᾶσαν πρὸς θεὸν πτεροῖ φρένα:

"Αγιε Δαυὶδ προφῆτα τοῦ Κυρίου·
Τοῦ γράψαντός σου τὸ παρόντα βιβλίον.
Μέμνησαι πάντως τῶν πολλῶν μου σφαλμάτων.
Τοῦ ταπεινοῦ τε ἁμαρτωλοῦ καὶ θύτου.
Παπὰ δὲ Μάρκου ἐπίκλειν Παυλοπούλου.
Ἔλαβε δὲ τέλος μηνὸς τοῦ ὀκτωβρίου·
Δὺς δὲ δέκα καὶ δύο τοῦ παρόντος.
Καὶ τοῦ ἔτους τρέχοντος χιλίους τετρακοσίους·
Καὶ πεντήκοντα τρέχοντος πρώτου τοῦδε: —
,αυνβ′ ὀκτωβρίου ιβ′.

№ 12.

Ψαλτήριον на бумагѣ, in 4^0: ,αυπς′ ἔτ. =1486 года. Почеркъ некрасивъ.

№ 13 (**118**).

Ψαλτήριον на бумагѣ, in 12^0 [156×104; 100×58; по 17 строкъ], [лл. 311 *A*] 7088 = 1580 года. Писана въ Египтѣ. Почеркъ хорошъ.

[Начинается на л. 1ª (заст.) Ψαλμὸς τῷ Δαυὶδ ἀνεπίγραφος παρ' Ἑβραίοις α′:

Μακάριος . . .

Кончается стихами (на $3^1/_2$ лл.):

Ἐγκώμιον εἰς τὴν ὑπεραγίαν Θεοτόκον διὰ στίχων.
Ὡς μήτηρ τοῦ παντάνακτος υἱοῦ τοῦ ποιητοῦ σου.
Ἄκουσον δέησιν μικρὰν πρὸς σὲ καὶ τοῦ υἱοῦ σου.
. . . .
Ἐκεῖ λοιπὸν ἀξίωσον πάντας τοὺς σὲ ὑμνοῦντας.
Οἱ τὴν βοήθειαν τὴν σὴν πάντοτε προσδοκοῦντας.
Ὦ δόξα καὶ προσκύνησις Κυρίου τοῦ θεοῦ μου.
Σὺν τῷ υἱῷ καὶ πνεύματι αὐτοῦ τοῦ ποιητοῦ μου:

и затѣмъ запись:

Ἔτους ,ζπη^ου ἰνδικτιῶνος η′. ἐτελειώθη ἀρχθὲν
ἐν μηνὶ φευρουαρίῳ ς^ῃ.]

№ 14 (**91**).

Ψαλτήριον на бумагѣ, 1648 года, in 8° [205×143; 150×85; лл. 204; по 18 строкъ]. Тутъ приписано:

1720 αὐγούστου 9 ἡμέρᾳ τρίτῃ ἐκοιμήθη ὁ μακαρίτης Ἀθανάσιος ἀρχιεπίσκοπος Σιναίου ὄρους.

[Начинается на л. 1ª (заст.) Ἀρχὴ σὺν θεῷ ἁγίῳ τοῦ τῷ ψαλτηρίῳ. Δαυὶδ προφήτου καὶ βασιλέως μέλος.

Ψαλμὸς α΄. Μακάριος . . .

На л. 204ª запись:

Τέλος и по бокамъ этого слова: αὐγούστῳ θ΄. ͵ζρνς΄. Ματθαίου πόνος].

№ 15 (**138**).

Ψαλτήριον на бумагѣ [207×150; 160×100; по 19 строкъ;] [лл. 149 *А*] 1650 года [безъ начала, со словъ пс. XVIII 6 (л. 1ª): ἐκ παστοῦ αὐτοῦ· ἀγαλλιάσεται ὡς γίγας δραμεῖν ὁδὸν...

На recto послѣдняго листа запись:

Τέλος καὶ τοῦ θεοῦ ἡ χάρις· ͵αχν΄. μαρτίου κθ΄. Ἀντιόχου ἁμαρτωλοῦ πόνος σφαλτός].

№ 16 (**108**).

Ψαλτήριον [не] на пергаминѣ [а на бумагѣ] in 12° [141×87; 130×80]. Всѣ 150 псалмовъ уписаны на шести листкахъ [въ два столбца по 66 строкъ] красиво, четко и безъ сокращеній словъ необыкновенно мелкимъ почеркомъ. Синанты говорятъ, что эта псалтирь написана была монахиней Кассіею. А она жила въ IX вѣкѣ [и потому ей принадлежать псалтырь не можетъ: письмо послѣдней не древнѣе XIII—XIV в. (смотр. табл. 82). Замѣтка о принадлежности р-си Син. монастырю:

Τὸ παρὸν ψαλτήριον ὑπάρχει τοῦ ἁγίου ὄρους Σινᾶ· καὶ ὅστις ἤθελε βουληθεῖ ἀποξενῶσαι τοῦ ἁγίου μοναστηρίου, ἔστω ἀφωρισμένος καὶ ἀσυγχώρητος ἀπὸ θεοῦ παντοκράτορος. Ἰωάσαφ τοῦ ἁγίου ὄρους Σινᾶ.

сдѣлана почеркомъ, совершенно отличающимся отъ основного. и принадлежитъ архіеп. Синайск. Іоасафу XVII вѣка].

№№ 17—19.

— Три древнія Псалтири на пергаминѣ, in 24°. Одна изъ нихъ написана отличнымъ мелкимъ почеркомъ.

№ 20.

— Древняя Псалтирь на пергаминѣ, in 16°.

№№ 21—27.

— Седмь Псалтирей на пергаминѣ, in 8°. Одна изъ нихъ— весьма древняя и толстая.

№ 28 (42).

— Толковая Псалтирь на пергаминѣ [лл. 1—4, 11—299, а лл. 5—15 бумажные XVI вѣка;] in 8° [194×143,][по 28—29 строкъ A]. Текстъ Псалтири писанъ краснымъ черниломъ, а толкованія чернымъ. Почеркъ—мелокъ, но красивъ. Въ началѣ этой рукописи помѣщены отреченія патріарховъ Константинопольскихъ, Григорія и Іоанна. [Основная рука XII—XIII вѣка на лл. 11ª—28ᵇ, 36ª—290ᵇ, размѣры текста: 132×88; лл. 29ᵇ—32ᵇ писаны рукой XIV вѣка, а лл. 291ᵇ—294ᵇ—другой рукой XIV вѣка; лл. 1—4, 296—299 взяты изъ другой пергаменной литургич. рукописи для замѣны переплета или обложки.

Содержаніе рукописи:

1) лл. 5ª—10ᵇ Ὑποτύπωσις καὶ ἀκριβὴς ἑρμηνεία ἐκ τῶν ἀπόρων τοῦ κυροῦ μοναχοῦ Μάρκου.

Ἰστέον ὅτι μίαν ἡμέραν τῆς ἁγίας μ' ἐπισκεπτώμεθα... καὶ τὴν δύναμιν ἑνὸς ἑκάστου. Ἔρρωσο τίμιε θύτα.

съ арабской припиской.

2.) л. 11[a]—28[b] (безъ начала, потому что вырѣзанъ 1 листъ) ἐγκαλινδούμενοι . . . ἀπολεύσεώς τε καὶ μεταδόσεως· κἀντεῦθεν ἔργῳ καὶ λόγῳ παριστᾶν ἑαυτὸν τὴν κρατίστην εὐδαιμονίαν εὑράμενον· καὶ τὴν ταύτῃ κεκληρωμένην μακαριότητα.

Затѣмъ л. 28[b] большая половина и л. 29[a] пустые.

3) л. 29[b]—30[a] Ἡ παραίτησις τοῦ πατριάρχου κυροῦ Γρηγορίου.

Ἐμὲ προυβίβασαν . . . πρεσβείαις.

4) л. 30[a—b] Ἡ παραίτησις κυροῦ Ἰωανοῦ τοῦ πατριάρχου.

Δέσποτά μου ἅγιε βασιλε . . . .

5) л. 30[b]—31[a] Ἡ συγχώρησις τοῦ αὐτοῦ κυροῦ Ἰωννου τοῦ πατριάρχου.

Δέσποτά μου ἅγιε βασιλεῦ . . .

6) л. 31[b]—32[b] Τοῦ κυροῦ Ἀθανασίου.

Ἐμοὶ συνέβη πατριαρχεύοντι . . .

Лл. 33[a]—35[b] пустые.

7) лл. 36[a]—286[a] Βίβλος ψαλμῶν ἤτοι ψαλτήριον. (надъ этимъ заглавіемъ вверху: + Χριστὲ προηγοῦ + Χριστὲ προηγοῦ + Χριστὲ προηγοῦ).

Псалтырь съ толкованіями, при чемъ на л. 36[a]—43[a] предисловіе толкователя, начин.: Ψαλτήριον κυρίως εἶδος ὀργάνου ἐστὶ μουσικοῦ . . . ἀνέστη γὰρ καὶ ζῇ εἰς τοὺς αἰῶνας ἀμήν.

лл. 43[a] большая половина и 43[b] пустые (съ позднѣйшими помарками);

съ л. 44[a]—286[a] самый текстъ труда Никифора Влеммида; слова псалмовъ киноварью, а толкованія — чернымъ; начала не хватаетъ, и на л. 44[a] находится сразу толкованіе пс. 2-го, повидимому, къ ст. 5:

> Ὁπότε ἤλεγχεν ὁ Χριστὸς τοὺς Ἰουδαίους λέγων· Οὐαὶ ὑμῖν γραμματεῖς. ἢ ἐν τῇ ὑπὸ Ῥωμαίων πολιορκίᾳ. ἢ κατὰ τὴν μέλλουσαν κρίσιν.

затѣмъ ст. 6: ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ.
и толкованіе: προσώπου Χριστοῦ ὁ λόγος κατὰ τὸ ἀνθρώπινον αὐτοῦ. и т. д.

8) л. 286^a—287^a Εὐσεβίου τοῦ Παμφίλου ἐκ τοῦ ε′ λόγου τοῦ εἰς τὸν βίον τοῦ μεγάλου Κωνσταντίνου κεφάλαιον ιη′ περὶ τῆς Σιβύλλης τῆς Ἐρυθραίας ἐν ἀκροστιχίδι τῶν τῆς μαντείας ἐπῶν, τὸν Κύριον καὶ τὸ πάθος δηλούσης. ἔστι δὲ ἡ ἀκροστιχὶς ισ χσ θῦ υἱός. σηρ στρς.

Παρίστατο . . . ἕνεχ’ ἡμῶν.

л. 287^a—290^b κεφάλαιον ιθ′, ὅτι ἡ περὶ τοῦ σωτῆρος μαντεία παρ’ οὐδενὸς τῆς ἐκκλησίας πέπλασται, ἀλλὰ τῆς Ἐρυθραίας Σιβύλλης ἐστίν, ἧς τὰς βίβλους Κικέρων ὁ ποιητὴς πρὸ τῆς ἐπιδημίας τοῦ Χριστοῦ ῥωμαϊστὶ μετέφρασε, καὶ ὅτι Βεργίλιος μέμνηται αὐτῆς καὶ τοῦ παρθενικοῦ τόκου δι’ αἰνιγμάτων, φόβῳ τῶν κρατούντων ὑμνήσας τὸ μυστήριον.

Καὶ ταῦτα τῇ παρθένῳ . . . παιδείαν μετερχομένους.

9) л. 291^b зодіакъ и

л. 292^b—294^a объясненія какъ находить элементы его, при чемъ примѣромъ служитъ ἐν ἔτει ,ςωις′ μηνὶ μαΐῳ ιε′, откуда можно думать, что писецъ жилъ около 1308 года.

Л. 295 пустой, съ позднѣйшими помарками.]

№ 29.

— Псалтирь на пергаминѣ, in 8^0, безъ начала и конца, писана унціально, похоже на наше церковнославянское письмо.

№ 30.

— Древняя Псалтирь на пергаминѣ, in folio. Почеркъ— крупный.

№ 31.

— Толковая Псалтирь на пергаминѣ, in folio grandi.

№ 32.

— Псалтирь на пергаминѣ, in 4^0, съ замѣтками на поляхъ.

№ 33 (39).

Въ библіотекѣ Синайскаго подворья въ Капрѣ, называемаго Джуванія.

Ψαλτήριον, Псалтирь на пергаминѣ, [лл. 331,] въ малую четвертку, [198×152; 148×120; по 17 строкъ;] писана крупнымъ и красивымъ почеркомъ въ XIV [скорѣе въ XII] вѣкѣ [XII вѣка *А*], но переписана была съ старинной рукописи съ подражаніемъ ей въ боковой приставкѣ іоты къ нѣкоторымъ словамъ; напримѣръ: ἐπὶ τῶι θῶι ἤλπισα. Всѣ заглавныя буквы во всѣхъ стихахъ покрыты золотомъ. Эта Псалтирь писана стихомѣрно. Каждый стихъ въ ней отдѣленъ отъ другого.

[л. 1ᵃ⁻ᵇ] Ὑπόθεσις Εὐσεβίου.

Τῆς βίβλου τῶν ψαλμῶν ἥδε ἂν εἴη διαίρεσις, ὡς τὰ ἀκριβῆ τῶν ἀντιγράφων, αὐτό τε τὸ ἑβραϊκὸν περιέχει· οὐχ ὡς ἄν τις ὑπολάβοι πάντες εἰσὶ τοῦ Δαυὶδ ψαλμοί, ἀλλὰ καὶ ἑτέρων προφητῶν ἐν τῷ ψάλλειν προφητευόντων· διόπερ ἡ πᾶσα Γραφὴ παρ' Ἑβραίοις οὐ τοῦ Δαυὶδ ἐπιγράφεται, ἀλλ' ἀδιορίστως βίβλος ψαλμῶν ὀνομάζεται:

⁘ Εἰς πέντε μέρη τὴν πᾶσαν τῶν ψαλμῶν βίβλον παῖδες Ἑβραίων διαιροῦσιν:

Πρῶτον εἰς τοὺς ἀπὸ Α′ μέχρι Μ′
Δεύτερον εἰς τοὺς ἀπὸ ΜΑ′ μέχρι ΟΑ′
Τρίτον εἰς τοὺς ἀπὸ ΟΒ′ μέχρι ΠΗ′
Τέταρτον εἰς τοὺς ἀπὸ ΠΘ′ μέχρι ΡΕ′
Πέμπτον εἰς τοὺς ἀπὸ Ρϛ′ μέχρι τοῦ τέλους τοῦ βιβλίου:

Ἀνεπίγραφοι ΙΘ′: Ἐπιγεγραμμένοι ΡΛΑ′:

Τῶν ἐπιγεγραμμένων αἱ διαιρέσεις:

Τοῦ μὲν Δαυὶδ	ΟΒ′
Τοῦ Ἀσὰφ	ΙΒ′
Τῶν υἱῶν Κορὲ	ΙΑ′
Ἀιθὰμ τοῦ Ἰσραηλίτου	Β′
Σολόμωνος	Α′
Μωϋσέως	Α′
Ἀνώνυμοι	ΙΖ′.

Τῶν εἰς τὸ ἀλληλούϊα.

Εἰσὶ δὲ ἀνώνυμοι, ὅσοι ἐπιγραφὰς μὲν ἔχουσιν, οὐ μὴν δὲ δηλοῦσι τίνος εἰσί:

[л. 2ª—8ª] Содержаніе псалмовъ:

Α΄. Προτροπὴ θεοσεβείας καὶ ἀποτροπὴ τοῦ ἐναντίου.

Β΄. Προφητεία περὶ Χριστοῦ καὶ κλήσεως ἐθνῶν.

Γ΄. Προφητεία γενησομένων ἀγαθῶν τῷ Δαυίδ.

Δ΄. Προφητεία τῷ Δαυὶδ περὶ ὧν πέπονθεν.

Ε΄. Ἐκ προσώπου τῆς ἐκκλησίας ἡ προσευχή.

ς΄. Διδασκαλία ἐξομολογήσεως.

Ζ΄. Τῷ Δαυὶδ ἐξομολόγησις καὶ προφητεία κλήσεως ἐθνῶν:

. . . .

ΡΜΗ΄ Ὕμνος σὺν θεολογίᾳ:

[ΡΜΘ΄ Παρακέλευσις ὕμνου καθολική:

∴ ὑπόθεσις τῶν ᾠδῶν:

α΄ Μωϋσέως ἐν τῇ Ἐξόδῳ βιβλίῳ δευτέρῳ τῆς ὀκτατεύχου:

. . . .

ιε΄ Ὕμνος ἑωθινός:

л. 8ᵇ пустой.

Съ л. 9ª—302ᵇ (заст.) Ψαλτήριον τερπνὸν εἰς θεὸν μέλος.

Начин.: α΄. Μακάριος ἀνὴρ . . .

Оканч.: ρμθ΄. Ἄσατε τῷ Κυρίῳ ᾆσμα καινὸν . . . .
πᾶσιν τοῖς ὁσίοις αὐτοῦ. ἀλληλούϊα.
ρν΄. Αἰνεῖτε τὸν θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ...
αἰνεσάτω τὸν Κύριον:
δόξα: κάθισμα κ΄:
ψαλμοὶ ρν΄: καθίσματα κ΄:
δόξαι ξ΄: ἀντίφωνα ξη΄:
ἀλληλούϊα:

οὗτος ὁ ψαλμὸς ἰδιόγραφος τοῦ Δαυὶδ καὶ ἔξωθεν τοῦ ἀριθμοῦ ὅτε ἐμονομάχησε πρὸς τὸν Γολιάθ:

Μικρὸς ἤμην . . . υἱῶν Ἰσραήλ: —

л. 303ª—328ª всѣ 15 пѣсней обычныхъ.

Лл. 328ᵇ—329ᵇ пустые, но съ позднѣйшими помарками.

Лл. 330ª—331ᵇ изъ другой псалтири XII вѣка].

№ 34 (**69**).

Ψαλτήριον на бумагѣ, съ картинами, 1638 года [XVI вѣка *К Г*;] [по 20 строкъ *А*], in f⁰ [285×205 *Г*;] [писецъ—іеромонахъ Анѳимъ *А*]; не заслуживаетъ большаго вниманія. [Съ рисункомъ, изображающимъ Давида и ангела *К*;] [съ тремя раскрашенными миніатюрами и множествомъ подобныхъ украшеній *А*].

№№ 35—40.

— Шесть Псалтирей in 4⁰, новыя.

№№ 41—50.

— Десять Псалтирей на бумагѣ, 16 вѣка.

№№ 51—59.

— Девять Псалтирей на бумагѣ in 8⁰, 16-го и 17-го вѣка.

№ 60 (**24**).

Въ библіотекѣ Синайскаго подворья въ Капрѣ, называемаго Джуванія.

Ἑρμηνεία ψαλτηρίου [этого заглавія нѣтъ на корешкѣ и нигдѣ, а есть Ψαλτήριον μετὰ σχολίων]. Толковая псалтирь на пергаминѣ [лл. 164] [лл. 165 *А*] въ четвертую долю листа [295×225; 220×171], писана въ XIII вѣкѣ [скорѣе XI—XII вѣка] [X—XI вѣка *А*] почеркомъ мелкимъ, косвеннымъ, [по 36 строкъ]. Эта рукопись теперь не имѣетъ ни начала ни конца. Первая тетрадь ея начинается толкованіемъ 40 псалма [со словъ καὶ τὸν καθ' ἑαυτὸν διηγούμενος· ὁ ἀμνὸς τοῦ θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου . . .]; а послѣдняя оканчивается изъясненіемъ 144-го псалма. Текстъ отличенъ отъ толкованій красною звѣздочкою ⁜. Эта рукопись сличена мною съ другою [№ **25**], подобною ей, хранящеюся въ той же библіотекѣ, но сличена только съ 66-го псалма. Смотри сличеніе ихъ ниже въ два столбца.

Выписки.

[л. 3b] Ψαλμὸς μβ'. Ἑρμηνεία τοῦ μβ' ψαλμοῦ τῷ Δαυίδ. Ἀνεπίγραφος παρ' Ἑβραίοις. ⁜ Κρῖνόν με ὁ θεὸς καὶ δίκασον τὴν δίκην μου... ⁜ Ἐξαπόστειλον τὸ φῶς σου καὶ τὴν ἀλήθειάν σου· αὐτά με ὡδήγησαν καὶ ἤγαγόν με εἰς ὄρος ἅγιόν σου καὶ εἰς τὰ σκηνώματά σου:— Ἐνταῦθα τὸν χρόνον ἐνήλλαξαν οἱ ο' καὶ ὡς γεγενημένα εἰρήκασι τα ἐσόμενα· οἱ δὲ ἄλλοι σαφέστερον ἐποιήσαντο τὴν ἑρμηνείαν. Ἀπόστειλον τὸ φῶς σου καὶ τὴν ἀλήθειάν σου, ἅτινα ὁδηγήσει με. ἄξει με εἰς τὸ ὄρος τὸ ἅγιόν σου καὶ εἰς τὰς σκηνώσεις σου....

[л. 4a] Ἑρμηνεία τοῦ μγ' ψαλμοῦ. Εἰς τὸ τέλος τοῖς υἱοῖς Κορὲ εἰς σύνεσιν:—Καὶ οὗτος πραγμάτων ἐσομένων πρόρρησιν ἔχων ἀναμεῖναι τὸ τέλος παρεγγυᾷ. πρόσκειται δε τῇ ἐπιγραφῇ, εἰς σύνεσιν, ἵνα συνιέντες ἐκεῖνοι τὰ γεγραμμένα περὶ ὧν ὁ προφητικὸς ταῦτα προθεσπίζει λόγος, τὴν ἐντεῦθεν ἁρπάσωσιν ὠφέλειαν. Προαγορεύει δὲ ὁ ψαλμὸς τὴν Μακεδονικὴν ὠμότητα καὶ τὴν Ἀντιόχου τοῦ Ἐπιφανοῦς δυσσεβῆ καὶ θηριώδη γνώμην· [л. 4b] καὶ τὴν τῶν Μακκαβαίων ἀνδρείαν τε καὶ εὐσέβειαν... ἐκ προσώπου τοίνυν αὐτῶν ἡ προφητικὴ χάρις ὑπηγόρευσε τὸν ψαλμὸν προδιδάσκουσα οἵοις αὐτοὺς ἐν τοῖς κινδύνοις προσήκει χρήσασθαι λόγοις...

[л. 5b] Ἑρμηνεία τοῦ με' ψαλμοῦ... Ἰστέον μέντοι ὥς τινες εἰς τὸν Γῶγον καὶ Μαγὼγ ὑπέλαβον εἰρῆσθαι τὸν προκείμενον ψαλμόν, τινὲς δὲ εἰς τὸν Ἄχαζ, καὶ τὸν Φακεέ, ἄλλοι δὲ εἰς τὸν Ἐζεκίαν καὶ τὸν Ἀσσύριον· δεῖξαι δὲ φάναι ἡ κατὰ μέρος ἑρμηνεία, ὡς οὐδενὶ τῶν εἰρημένων ἁρμόττει ἡ τοῦ ψαλμοῦ διάνοια.... προλέγει δε τὰς κατὰ τῆς ἐκκλησίας ἐπαναστάσεις καὶ τὴν εἰρήνην [1]).

[л. 11b—12a] Ψαλμὸς τῷ Ἀσάφ: —Ἄλλου χοροῦ ψαλμῳδῶν χοροδιδάσκαλος οὗτος, ὡς ἡ τῶν Παραλειπομένων ἐδίδαξεν ἱστορία· τὰ μὲν γὰρ ἀπὸ τοῦ τεσσαρακοστοῦ πρώτου προηρμηνευμένα οἱ Κορὲ υἱοὶ κορυφαῖοι καὶ αὐτοὶ ἑτέρου γενόμενοι ᾄδειν

[1]) προλέγει δὲ τὰς... εἰρήνην я въ р-сп не отыскалъ.]

ἐνεχειρίσθησαν. ἔχουσι δὲ καὶ ἄλλους ψαλμοὺς τὴν αὐτῶν ἐπιγραφὴν ἔχοντας, οὕς, εἰ ὁ θεὸς ἐπιτρέψειεν, ἑρμηνεύσομεν....

Ψαλμὸς μθ'. ⁂ Θεὸς θεῶν Κύριος ἐλάλησε καὶ ἐκάλεσε τὴν γῆν ἀπὸ ἀνατολῶν ἡλίου μέχρι δυσμῶν: —... Τὸ δὲ θεὸς θεῶν οἱ γ' ἑτέρως ἡρμήνευσαν· ἰσχυρὸς θεὸς λαλήσας ἐκάλεσε τὴν γῆν. οἱ δὲ ο' θεοὺς ὀνομάζουσι τοὺς ἄρχοντας [л. 12ª] καὶ κρίνειν πεπιστευμένους, ὅπερ ἴδιον μόνου θεοῦ...

[л. 14ª] ⁂ Θυσία αἰνέσεως δοξάσει με, καὶ ἐκεῖ ὁδὸς ἣν δείξω αὐτῷ τὸ σωτήριον τοῦ θεοῦ: —Τοῦτο δὲ ὁ Σύμμαχος σαφέστερον ἡρμήνευσε· θυσιάζων ὑπὲρ αἰνέσεως δοξάσει με, καὶ τῷ εὐτάκτως ὁδεύοντι δείξω σωτήριον θεοῦ· προσήκει γὰρ μὴ μόνον ὑμνεῖν τὸν θεὸν καὶ τῆς αἰνέσεως αὐτοῦ τὰς θυσίας προσφέρειν, ἀλλὰ καὶ εὐτάκτως ὁδεύειν καὶ τὸν οἰκεῖον βίον διαρυθμίζειν. οὕτω γὰρ δυνατὸν τῆς παρὰ τοῦ θεοῦ σωτηρίας ἐπιτυχεῖν. κατὰ δὲ τοὺς ο' τῇ θυσίᾳ φησὶ τῆς αἰνέσεως ἐφήδομαι, καὶ ταύτην ἡγοῦμαι δόξαν ἁρμόττουσαν καὶ διὰ ταύτης τὴν ἐμὴν ὁδὸν ὑποδείξω τῷ ταύτην προσφέροντι, ἧς τέλος ἡ παρὰ τοῦ θεοῦ σωτηρία...

Къ 51 псалму: [л. 18ª] Ἔχει δὲ καὶ πρόρρησιν κατὰ ταὐτὸ τῆς Ῥαψάκου μανίας, ὃς ἐξ Ἑβραίων ὁρμώμενος, εἶτα γενόμενος δορυάλωτος τῶν ἐξανδραποδισάντων Ἀσσυρίων, μεμάθηκε τὴν ἀσέβειαν, καὶ βλασφήμοις ἐχρήσατο κατὰ τοῦ θεοῦ λόγοις καὶ ἀπατηλοῖς ἐπειράθη φενακίσαι ῥήμασι τῶν Ἰουδαίων τὸ πλῆθος: —

[л. 19ª]. Ἑρμηνεία τοῦ νβ' ψαλμοῦ.. Εἰς τὸ τέλος ὑπὲρ μαελὲθ συνέσεως τῷ Δαυίδ· τὸ ὑπὲρ μαελὲθ ὁ Θεοδοτίων ὑπὲρ τῆς χορείας ἡρμήνευσεν, ὁ δὲ Σύμμαχος διὰ χοροῦ, ὁ δὲ Ἀκύλας, ἐπὶ χορείᾳ. Τὴν αὐτὴν μέντοι διάνοιαν ὁ ψαλμὸς οὗτος ἔχει τῷ προτεταγμένῳ ὅμοιος δὲ ἐστι καὶ ὁ τρισκαιδέκακος· καὶ γὰρ ἡ ὑπόθεσις ἀμφοτέρων μία· τῆς γὰρ τοῦ Σενναχηρεὶμ καὶ τοῦ Ῥαψάκου βλασφημίας κατηγοροῦσιν ἀμφότεροι, προθεσπίζουσι δὲ καὶ τὸν γεγενημένον τῶν δυσσεβῶν ὄλεθρον. οὗ δὴ χάριν καὶ χορείας ἔσχεν ἐπιγραφήν, ἣν ἐποιήσαντο πάντως οἱ τῆς σωτηρίας τετυχηκότες καὶ τὸν θεὸν ἀνυμνοῦντες.

καὶ εἰς τὸ τέλος δὲ πρόσκειται. τῷ τῶν χρόνων ὕστερον εἰληφέναι τὴν προφητείαν τὸ τέλος: — . . . [л. 19b] ⁂ Ὅτι ὁ θεὸς διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων. κατῃσχύνθησαν, ὅτι ὁ θεὸς ἐξουδένωσεν αὐτούς: — Ὁ Ἀκύλας καὶ ὁ Σύμμαχος τὸ διεσκόρπισεν ὀστᾶ ἀνθρωπαρέσκων οὕτως ἡρμήνευσαν· ὁ γὰρ θεὸς διεσκόρπισεν ὀστᾶ παρεμβαλλόντων περὶ σέ: — [1]) . . .

54 Ψαλμ. — Τοῖς ὕμνοις ὁ ψαλμὸς ἐγκατείλεκται σκιαγραφίαν τινὰ ἔχων τῶν δεσποτικῶν παθημάτων.

Ὅτι ἐξέκλιναν ἐπ' ἐμὲ ἀνομίαι καὶ ὀργῇ ἐνεκό[αν]τουν μοι. Σαφέστερον ὁ Σύμμαχος εἴρηκεν, ὅτι ἐπέριψε κατ' ἐμοῦ εἰς ἀσέβειαν, καὶ μετ' ὀργῆς ἠναντιώθησάν μοι· πονηρᾷ γὰρ χρησάμενοι γνώμῃ τὸν ἐμὸν τυρεύουσι θάνατον.

Διεμερίσθησαν ἀπὸ ὀργῆς τοῦ προσώπου αὐτῶν καὶ ἤγγισαν αἱ καρδίαι αὐτῶν. Ὀργῇ γὰρ δουλεύσαντες ἕτερα μὲν ἐμέμφοντο, ἕτερα δὲ ἐβουλεύοντο. οὕτω γὰρ ὁ Σύμμαχος ἡρμήνευσεν· λειότερα βουτύρου τὰ στόματα αὐτῶν, πολεμοῖ δὲ ἡ καρδία ἑκάστου αὐτῶν.

56 Ψαλμ. — Ἐλέησόν με ὁ θεὸς . . . ἕως οὗ παρέλθῃ ἡ ἀνομία. Σαφέστερον ὁ Ἀκύλας ἡρμήνευσεν· ἕως οὗ παρέλθῃ ἡ ἐπιβουλή. ὁ δὲ Σύμμαχος, ἕως ἂν παρέλθῃ ὁ ἐπηρεαστής. οὐ παύσομαι τοίνυν φησὶν ἱκετεύων, ἕως ἂν τῶν ἐπιβουλευόντων ἀπαλλαγῶ· τοὺς γὰρ ἐπιβουλεύοντας οἱ ο' ἀνομίαν ἀπὸ τοῦ πράγματος προσηγόρευσαν.

Ἐκοιμήθην τεταραγμένος. Τοῦτο ὁ Θεοδοτίων οὕτως ἡρμήνευσεν· ἐκοιμήθην μετὰ ἀναλισκόντων. ὁ δὲ Ἀκύλας, μετὰ λάβρων. ὁ δὲ Σύμμαχος, μετὰ φλεγόντων. εἰκότως τοίνυν ἐταραττόμην, μεταξὺ τοιούτων καθεύδειν ἠναγκασμένος καὶ ὑπὸ τοιούτων κυκλούμενος· τὸν Σαοὺλ γὰρ καὶ τοὺς σὺν αὐτῷ ἀναλίσκοντας καὶ φλέγοντας καὶ λάθρους καὶ σκύμνους ὠνόμασε, τὸ θηριῶδες τῆς γνώμης τοῦ τρόπου καὶ τὸ φονικὸν ἐξηγούμενος.

— Ἑτοίμη ἡ καρδία μου ὁ θεός, ἑτοίμη ἡ καρ-

[[1]) До сихъ поръ мною свѣренъ списокъ Порфирія съ р-сью].

δ ί α μ ο υ, ᾄ σ ο μ α ι κ α ὶ ψ α λ ῶ. — Τοῦτο ὁ Σ ύ μ μ α χ ο ς οὕτως ἡρμήνευσεν· ἑδραία ἡ καρδία μου.

57 Ψαλμ. — Τὸ φ α ρ μ α κ ο ῦ τ α ι φ α ρ μ α κ ε υ ο μ έ ν η π α ρ ὰ σ ο φ ο ῦ, ὁ Σ ύ μ μ α χ ο ς οὕτως ἡρμήνευσεν· ἐποστοῦται [?] ἐπῳδαῖς σεσοφισμένου, ὡς εἶναι δῆλον, ὅτι τὴν ἐπῳδὴν ὠνόμασε φάρμακον.

58 Ψαλμ. Κ α ὶ ἐ ξ ἀ ρ ᾶ ς κ α ὶ ψ ε ύ δ ο υ ς δ ι α γ γ ε λ ή σ ο ν τ α ι ἐ ν σ υ ν τ ε λ ε ι α ι ς, κ α ὶ ο ὐ μ ὴ ὑ π ά ρ ξ ω σ ι.—Τοῦτο σαφέστερον ὁ Σ ύ μ μ α χ ο ς ἡρμήνευσεν· συλληφθήτωσαν μετὰ τῆς ὑπερηφανίας αὐτῶν· ἀρὰν καὶ ψεῦδος λαλοῦντας συντέλεσον, θυμῷ ἀνάλωσον, ἵνα μὴ ὦσιν· ἐπειδὴ γὰρ συκοφαντίαις ἐχρήσαντο, λέγοντες αὐτὸν προστεταχέναι μὴ δοῦναι καίσαρι κῆνσον, καὶ ταῦτα ἀκηκοότες αὐτοῦ παρεγγυῶντος δοῦναι τὰ τοῦ καίσαρος καίσαρι καὶ τὰ τοῦ θεοῦ τῷ θεῷ, καὶ ἀραῖς δὲ πολλαῖς καὶ λοιδορίαις αὐτὸν ἔβαλλον, δι' ἐκείνας ἔφη τὰς ἀρὰς καὶ τὰς συκοφαντίας καὶ τὴν ἁμαρτίαν τοῦ στόματος ταύτην αὐτοὺς ὑπομεμενηκέναι τὴν συντέλειαν. συντέλειαν δὲ οὐ τὴν πανωλεθρίαν καλεῖ, ἀλλὰ τὸ μηκέτι αὐτοὺς λαὸν χρηματίζειν θεοῦ· ἐσκεδασμένοι γὰρ κατὰ τὴν οἰκουμένην καὶ Ῥωμαίοις δουλεύειν ἠναγκασμένοι τῆς νομικῆς λατρείας ἐστέρηνται· πόρρω τῆς πολυθρυλήτου διάγουσι μητροπόλεως, τῆς βασιλικῆς ἔρημοι κηδεμονίας γεγένηνται, ἱερατικῆς ἐπιμελείας οὐκ ἀπολαύουσι, τῆς προφητικῆς ἐγυμνώθησαν χάριτος. τὸ τοίνυν ο ὐ χ ὑ π ά ρ ξ ο υ σ ι ν ἀντὶ τοῦ εἰς λαὸν οὐκ ἔστι φησὶ καθ' ἑαυτοὺς πολιτεύσονται, μόνην οἰκοῦντες τὴν Π α λ α ι σ τ ί ν η ν καὶ λαὸς θεοῦ χρηματίζοντες. συντελείας δὲ τὰς παντοδαπὰς καλεῖ τιμωρίας. καὶ γὰρ ἐπὶ Γ α ΐ ο υ τοῦ τετάρτου καίσαρος κινδύνους μεγίστους ὑπέμειναν, καὶ μέντοι καὶ ἐπὶ Ν έ ρ ω ν ο ς πολλαῖς περιέπεσον συμφοραῖς, καὶ Ο ὐ ε σ π α σ ι α ν ὸ ς τὰς πλείστας τῆς Ἰουδαίας ἐπολιόρκησε πόλεις, καὶ Τ ί τ ο ς προσεδρεύσας τοῖς Ἱεροσολύμοις καὶ τὴν πόλιν ἐπόρθησε καὶ τοὺς τὸν θάνατον διαφυγόντας ἐξανδραποδίσας δορυαλώτους ἀπήγαγεν, καὶ ἄλλοις δὲ μετὰ ταῦτα ἐπήγαγεν ἀλγεινοῖς. καὶ νῦν δὲ ὡσαύτως ἐν αἷς παροικοῦσι πόλεσιν, ἀφορμῆς τινὸς γινομένης πολλάκις τὰ ἀνήκεστα πάσχουσι· τῆς ἀρᾶς καὶ τοῦ ψεύδους καὶ τῆς ἁμαρτίας τοῦ στόματος ἀπαιτούμε-

νοι δίκας δι' αὐτῶν μανθάνουσι πραγμάτων, ὅτι τῶν ἁπάντων ἔστι κύριος καὶ δεσπότης ὁ σταυρωθείς.

— Αὐτοὶ διασκορπισθήσονται τοῦ φαγεῖν· ἐὰν δὲ μὴ χορτασθῶσι, καὶ γογγύσουσι. Τοῦτο ὁ Σύμμαχος τῷ προτέρῳ ἀπέδωκεν, ἔφη δὲ οὕτως· ἀνακαμπτέτωσαν ἑσπέρας· θορυβείτωσαν οἱ κύνες περιερχόμενοι πόλιν ῥεμβόμενοι, ἵνα μὴ ἀχόρταστοι αὐλισθῶσιν. κατὰ δὲ τοὺς ο' οὕτω νοητέον, ὅτι κυνῶν δίκην καὶ οὗτοι κατὰ τὴν οἰκουμένην ἐσκεδασμένοι τὴν πνευματικὴν ἐπιζητοῦσι τροφήν, οὐχ εὑρίσκοντες δὲ ταύτην διὰ τὸ μὴ πιστεύειν εἰς τὸν ἀπὸ πάντων προκεκηρυγμένον τῶν προφητῶν, τονθορύζουσι τὴν ἀχάριστον καὶ ἐν τούτῳ γνώμην ἐπιδεικνύντες. —

59 Ψαλμ. — Μωὰβ λέβης τῆς ἐλπίδος μου. Τοῦτο ὁ Ἀκύλας οὕτως ἡρμήνευσεν· Μωὰβ λέβης τοῦ λουτροῦ μου. ὁ δὲ Σύρος· κάδος τῆς πλύσεώς μου. ἐπειδὴ γὰρ ἐν τοῖς τοιούτοις σκεύεσι καὶ τοὺς πόδας ἀπονίπτειν καὶ ἀπορίπτειν τὴν ἐρρυπωμένην ἐσθῆτα εἰώθαμεν, τὴν ὑποταγὴν τοῦ Μωὰβ διὰ τοῦ κάδου τῆς πλύσεως παρεδήλωσεν· καὶ ὁ λέβης δὲ τιμωρία κεῖται παρὰ τῇ θείᾳ Γραφῇ. οὕτω καὶ ὁ μακάριος Ἰεζεκιὴλ διδάσκει, λέβητα προσταχθεὶς καλέσαι τὴν Ἰερουσαλήμ, κρέας δὲ τοὺς ἐνοικοῦντας, πῦρ δὲ τὴν Βαβυλῶνα, ζωμὸν δὲ τὴν ἀναγκαίαν τροφήν.

61 Ψαλμ.—Εἰς τὸ τέλος ὑπὲρ Ἰδιθούμ. ψαλμὸς τῷ Δαυίδ: Ὁ δὲ Σύμμαχος οὕτως ἡρμήνευσεν· ἐπινίκιος διὰ Ἰδιθοὺμ ᾠδὴ εἰς Δαυίδ. δηλοῖ τοίνυν, ὡς τοῦ μακαρίου μὲν Δαυὶδ ὁ ψαλμός, ᾔδετο δὲ ὑπὸ τοῦ Ἰδιθούμ· ὡς γὰρ χοροῦ προστατεύων ἐν τῷ θείῳ ναῷ ὕμνει τὸν τῶν ὅλων θεόν. προθεσπίζει δὲ ὁ ψαλμὸς τὰς Μακεδονικὰς ἐπαναστάσεις καὶ τὰς Ἀντιόχου τοῦ Ἐπιφανοῦς κατὰ τῶν Μακκαβαίων ἐπιβουλάς, καὶ διδάσκει τοὺς εὐσεβείας ἀθλητάς, ὁποίοις προσήκει χρήσασθαι λογισμοῖς ἐν τῷ τῶν ἀγώνων καιρῷ.

62 Ψαλμ.—Ποσαπλῶς σοι ἡ σάρξ μου (=коль многищею къ тебѣ плоть моя). Ὁ Θεοδοτίων, ποσαχῶς. ὁ δὲ Ἀκύλας, ἐπεστάθη. ὁ δὲ Συμμαχος, ἱμείρεται. πάσας δὲ τέθει κα τὰ ἑρμηνείας διδάσκων ὡς οὐ δύο μέρη λόγου ἐστὶ τὸ ποσαπλῶς, διαιρουμένου τοῦ πῶς ἀπὸ τοῦ ἁπλῶς, ἀλλ' ὅτι ἕν ἐστι

⁂

μέρος λόγου, τὴν ἐπίτασιν τοῦ πόθου σημαίνων· συμφωνεῖ γὰρ τῷ ἔρωτι τῆς ψυχῆς καὶ ἡ σάρξ.

Εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου . . . καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι. Τοῦτο δὲ ὁ Σύμμαχος οὕτως ἡρμήνευσεν· ἀναμιμνήσκομαί σου ἐπὶ τῆς στρωμνῆς μου· καθ' ἑκάστην φυλακὴν ἐμελέτων σε καὶ σκεπόμενος ἐν τοῖς πτέρυξι σου εὐφήμουν. φυλακὰς δὲ λέγει τὰς νυκτερινάς· διαιρούμενοι γὰρ τὸν νυκτερινὸν καιρὸν οἱ φυλάττειν πεπιστευμένοι τοῦτον δρῶσι σφᾶς αὐτοὺς διαδεχόμενοι, καὶ οἱ μὲν τριχῇ διαιροῦσι, οἱ δὲ τετραχῇ. καὶ ὁ Κύριος δὲ τετάρτῃ φυλακῇ τῆς νυκτὸς πρὸς τοὺς ἱεροὺς ἀποστόλους ἐλήλυθεν.

63 Ψαλμ. — Οἵτινες ἠκόνησαν ὡς ῥομφαίαν τὰς γλώσσας αὐτῶν· ἐνέτειναν τόξον αὐτῶν πρᾶγμα πικρὸν τοῦ κατατοξεῦσαι ἐν ἀποκρύφοις ἄμωμον. Συκοφαντίας φησὶ ῥάπτουσιν εἰς τὸν κατ' ἐμοῦ πυρσευόμενοι πόλεμον, καὶ ταῦτα μηδὲ μίαν ἐμοῦ παρεσχηκότος αἰτίαν· ἄμωμον γὰρ ἐνταῦθα ἀναίτιον λέγει. τὸ δὲ πρᾶγμα πικρὸν ὁ Ἀκύλας ῥῆμα πικρὸν εἴρηκεν· καὶ ὁ Θεοδοτίων, λόγον πικρόν· καὶ ὁ Σύμμαχος· ἐπλήρωσε τόξον ἑαυτῶν λόγῳ πικρῷ. τὸ δὲ ἐν ἀποκρύφῳ κρυφῇ ὁ Σύμμαχος εἴρηκεν, τουτέστιν ἐν ἕδραις καὶ λόχοις κεχρημένοι.

64 Ψαλμ.—Εἰς τὸ τέλος ψαλμὸς τῷ Δαυὶδ ᾠδή. Εν ἐνίοις δὲ ἀντιγράφοις προσκειται ᾠδὴ Ἱερεμίου καὶ Ἰεζεκιὴλ καὶ τοῦ λαοῦ τῆς παροικίας, ὅτε ἤμελλεν ἐκπορεύεσθαι. ταῦτα μὲν οὔτε τὸ Ἑβραϊκὸν ἔχει οὔτε οἱ ἄλλοι ἑρμηνευταὶ οὔτε οἱ ο' ἐν τῷ Ἑξαπλῷ· ἀλλά τις, ὡς ἔοικε, προστέθεικε τὴν ἐπιγραφήν, οὔτε τῇ τοῦ ψαλμοῦ διανοίᾳ προσεσχηκὼς οὔτε τὴν ἱστορίαν μεμαθηκώς· πρῶτον μὲν γὰρ ὁ Ἱερεμίας τῆς αἰχμαλωσίας οὐκ ἐκοινώνησεν, ἀλλ' αἵρεσιν λαβὼν διάγειν ὅπου βούλεται, τὴν ἐν τῇ πατρίδι διαγωγὴν ἀσπαστῶς κατεδέξατο. ἔπειτα ἡ διάνοια τοῦ ψαλμοῦ οὐ τοῖς ἐκπορευομένοις εἰς τὴν αἰχμαλωσίαν ἁρμόττει, ἀλλὰ τοῖς ἐν τῇ αἰχμαλωσίᾳ διάγουσι.

— Λόγοι ἀνόμων ὑπερεδυνάμωσαν ἡμᾶς. ὁ δὲ Σύμμαχος οὕτως· λόγοι ἀνόμων κατεδυνάστευσάν με.

— Καὶ αἱ κοιλάδες πληθυνοῦσι σῖτον· κεκρά-

ξονται, καὶ γὰρ ὑμνήσουσιν. Οἴδαμεν οὖν, ὥς τινες τῶν συγγραφέων ἐξ ἐπιπολῆς νενοηκότες τὰ εἰρημένα τούτων ἕκαστον ἔφασαν γεγενῆσθαι μετὰ τὴν τῆς αἰχμαλωσίας ἐπάνοδον, εὐετηρίας αὐτοῖς πρὸς τῇ ἐλευθερίᾳ παρασχεθείσης καὶ ὑετῶν ἀφθόνων, ὡς καὶ τὸν Ἰορδάνην πλημμυρεῖν· αὐτὸν γὰρ ἔφασαν κεκλῆσθαι τὸν θεοῦ ποταμόν. ἐγὼ δὲ μηδὲν τοιοῦτον παρὰ τῆς ἱστορίας γεγενῆσθαι μεμαθηκώς (ἐν πολλῇ γὰρ διήγαγον ἐπιπλεῖστον πενίᾳ, ὡς Ἔσδρας ἐδίδαξεν), εὑρὼν δὲ καὶ τῆς τῶν ἐθνῶν σωτηρίας τὴν πρόρρησιν ἐν τῷ ψαλμῷ προφανῆ (πρός σε γὰρ ἔφη πᾶσα σάρξ ἥξει· καὶ ἐπάκουσον ἡμῶν ὁ θεὸς ὁ σωτὴρ ἡμῶν ἡ ἐλπὶς πάντων τῶν περάτων τῆς γῆς καὶ τῶν ἐν θαλλάσσῃ μακράν), ταύτην ἀκόλουθον τοῖς ῥητοῖς ἐκείνοις ὑπέλαβον διάνοιαν· οἱ δὲ τοῖς μύθοις χαίροντες καὶ τῆς Ἱερουσαλὴμ τὴν οἰκοδομὴν φανταζόμενοι καὶ καθάπερ ὀνείρους τοὺς οἰκείους λογισμοὺς ἐξηγούμενοι . . . γεγενῆσθαι ταῦτα, ἀλλ' ἔσεσθαι μετὰ τὴν τῶν Ἰουδαίων ἀνάκλησιν ἔφασαν πρὸς τὴν τῶν ἄλλων δογμάτων διαφθοράν, καὶ τοῦτον προστεθεικότες τὸν μῦθον, οὓς ληρεῖν καταλιπόντες τῶν θείων λογίων ἀψώμεθα.

65 Ψαλμ. — Εἰς τὸ τέλος ᾠδῆς ψαλμὸς ἀναστάσεως. Οὐδὲ ταύτην τὴν προσθήκην τὸ Ἑβραϊκὸν ἔχει, οὐδὲ οἱ ἄλλοι ἑρμηνευταί, οὐδὲ οἱ ο' ἐν τῷ Ἑξαπλῷ· ἀλλὰ καὶ ταύτην τινὲς ὡς ἔοικεν προστεθείκασι.

— Ὁ μεταστρέφων τὴν θάλασσαν εἰς ξηράν· ἐν ποταμῷ διελεύσονται πόδες. Ὁ χρόνος ἐνταῦθα ἐνήλλακται· τὰ γὰρ παρεληλυθότα ὡς ἐσόμενα εἶπεν. οἱ δὲ ἄλλοι τὸν χρόνον ἐφύλαξαν. καί φησιν ὁ Σύμμαχος οὕτως· μετέβαλε θάλασσαν εἰς ξηράν· ποταμὸν διέβησαν ποδί· οὗτος γάρ φησίν ἐστιν ὁ θεός, ὁ καὶ ἡμῖν τὴν ἐπάνοδον καὶ ὑμῖν τὴν σωτηρίαν δωρούμενος, ὁ πάλαι καὶ θάλασσαν καὶ ποταμὸν διαστήσας καὶ τοὺς ἡμετέρους προγόνους ἀκινδύνως διαβῆναι κελεύσας.

Сличеніе

этой псалтири [№ 24] съ другою, подобною ей,

№ 61 (**25**),

которая хранится въ той же Джуванійской библіотекѣ. А написана эта псалтирь въ XIII вѣкѣ [несомнѣнно XI вѣка], [XII в. *Г*] [X—XI в. *А*] на пергаминѣ, въ четвертую долю большого листа, in 4^0 maj. [302×221; 230×155; по 28 строкъ;][на 35 тетрадяхъ *А*]. Косвенный почеркъ ея крупенъ и размашистъ [съ ι adscr.]. Начала и конца нѣтъ. Рукопись, въ настоящемъ составѣ ея, начинается на 8-й тетради слѣдующими словами: [*αὐτῶν ἀσεβείας А*] *τῆς αὐτῶν ἀσεβείας, ἐπεὶ συνῆσαν αὐτοῖς Δανιὴλ καὶ Ἰεζεκιὴλ ὥσπερ φωταγωγοὶ* . . . [но сохранилась и тетрадь ζ', начин.: *τῆς παροικίας ὅτε ἔμελλον ἐκπορεύεσθαι: Οὔτε τὸ ἑβραϊκὸν οὕτως ἔχει* . . .], а оканчивается на 41-й (*μα'*) тетради, послѣ изъясненія 141 псалма, словами: *ἢ καὶ ἄλλως. πάντες οἱ ἐν σοὶ ἐλπίζοντες ἢ εἰς σὲ· τούτους γὰρ λέγει.* Текстъ псалтири обозначенъ ижицами ⸖, а разночтенія переводчиковъ, Акилы, Симмаха, Θеодотіона и пр., — вотъ такъ: ∼ ∼. Составитель [толкованій къ] этой псалтири показываетъ сперва историческій смыслъ этой богодухновенной книги, а потомъ таинственный.

Паралелли.

первой и	второй псалтири.
66 Ψαλμ. [л. 39^b]. *Οὗτος ὁ ψαλμὸς σαφῆ τὴν διάνοιαν ἔχει καὶ πολλῶν λόγων εἰς ἑρμηνείαν οὐ δεῖται· προκηρύττει γὰρ τοῦ θεοῦ λόγου τὴν ἐνανθρώπησιν καὶ τὴν σωτήριον ἐπιφάνειαν καὶ τῶν ἐθνῶν ἁπάντων τὴν σωτηρίαν.*	то же
67 Ψαλμ. — [л. 41^b] *Ὁ θεὸς ἐν τῷ ἐκπορεύεσθαί σε ἐνώπιον τοῦ λαοῦ σου, ἐν τῷ διαβαίνειν σε ἐν τῇ*	. . . . [л. 13^a] *γένηται ἕκαστον ἀναπαύσασθαι ἐν τῷ ἰδίῳ κλήρῳ.— Ἐν δὲ τῷ Ἑξαπλῷ*

первая

ἐρήμῳ. γῆ ἐσείσθη· καὶ γὰρ οἱ οὐρανοὶ ἔσταξαν: — Ταῦτα ὁ Σύμμαχος οὕτως ἡρμήνευσεν· ὁ θεὸς προερχομένου σου πρὸ τοῦ λαοῦ σου βαίνοντος διὰ τῆς ἀοικήτου, γῆ ἐσείσθη, οὐρανὸς ἔσταξε. . . . Γέγονε δὲ τὸ μὲν ἐπὶ τοῦ σταυροῦ· τότε γὰρ ἡ γῆ ἐσείσθη καὶ αἱ πέτραι ἐρράγησαν. τὸ δὲ μετὰ τὴν εἰς οὐρανοὺς ἄνοδον· τηνικαῦτα γὰρ ἐπεφοίτησεν ἡ τοῦ πνεύματος χάρις, οἷόν τινας δρόσου ψεκάδας μιμουμένη τοῖς ἀποστόλοις . . . .

[л. 42[a]] ἵνα τί ὑπολαμβάνετε ὄρη τετυρωμένα τὸ ὄρος, ὃ ηὐδόκησεν ὁ θεὸς κατοικεῖν ἐν αὐτῷ: — Ὁ δὲ Ἀκύλας οὕτως· εἰ στηρίζεται ὄρη ὠφρυωμένα, ὁ προφητικὸς ἀποτείνεται λόγος καὶ πρὸς τοὺς παρανόμους τῶν αἱρετικῶν συλλόγους, οἳ ἐκκλησίας σφᾶς ἑαυτοὺς ὀνομάζουσιν, φησί· τί ποτε ἐρίζειν καὶ παρισοῦσθαι ἀλαζονεύεσθε τῷ ὄρει, ὃ οἰκητήριον ἀπέφηνεν ὁ θεός:— ※Καὶ γὰρ ὁ Κύριος κατασκηνώσει εἰς τέλος: — Οὐ γὰρ ὡς παρ' ὑμῖν, ὦ Ἰουδαῖοι, ῥητόν τινα ᾤκησε χρόνον, οὕτως καὶ ἐν τούτῳ διάξει, ἀλλ' αἰώνιον ἐν τούτῳ σχήσει τὴν οἴκησιν. τοῦτο γὰρ δηλοῖ τὸ εἰς τέλος.—

вторая псалтирь

ἡ περιοχὴ τοῦ ῥητοῦ οὕτως· ὁ βασιλεὺς τῶν δυνάμεων τοῦ ἀγαπητοῦ καὶ ὡραιότητι τοῦ οἴκου διελέσθαι σκῦλα, τῷ διπλασιασμῷ τὴν ἐπίτασιν τῆς ἀγάπης σημαίνων, ἀγαπητὸν λέγων τὸν Ἰσραήλ. —

Ἐὰν κοιμηθῆτε ἀναμέσον τῶν κλήρων πτέρυγες περιστερᾶς περιηργυρωμέναι...ὁ κύριος κατασκηνώσει εἰς τέλος. Τουτέστι καταπαυόντων ὑμῶν εἰς τὴν κληροδοσίαν ὑμῶν, τὴν γῆν λέγων τῆς ἐπαγγελίας, οὕτως ἔσεσθε πολυτελεῖς [л. 13[b]], ὡς πτέρυγες περιστερᾶς ἀργυρίῳ περιηργυρωμέναι. Οὕτως γὰρ ὁ Σύμμαχος ἐξέδωκε. λέγει δὲ τὰς γυψίνας περιστερὰς ἃς οἱ πλούσιοι τοῖς στέγεσιν ἐφιστᾶσι, δεῖγμα πλούτου τοῦτο ποιούμενοι. τοιοῦτοι δὲ ἀναφανέντες λοιπὸν καὶ βασιλεῖς ἑαυτοῖς τῇ τοῦ ἐπουρανίου θεοῦ ἀγαθότητι διαστείλεσθε, οὐκ ἔτι ὑπό τινος καταδουλούμενοι, οἵτινες βασιλεῖς παρ' ὑμῖν ἐκλεγέντες—τοῦτο γὰρ τὸ διαγγέλλειν σημαίνει—ἔσονται ἐν Σελμών, Σελμὼν τὴν Ἱερουσαλὴμ ὀνομάζων. τοῦτο οὖν τὸ Σελμών, ἅτε θεοῦ χρηματίζον ὄρος, πλουσιώτατον ἔσται—τοῦτο γὰρ βούλεται τὸ πῖον—ἀλλὰ καὶ τετυ-

первая

❊ Τὸ ἅρμα τοῦ θεοῦ μυριοπλάσιον χιλιάδες εὐθηνούντων:—Οὐ γὰρ ὡς παρ' ὑμῖν, ὦ Ἰουδαῖοι, ὀλίγους ἔσχεν ἁγίους, ὧν ἐπέβη καὶ οἷς ἐνῴκησεν, οὕτω καὶ νῦν σχήσει· μυριοπλάσιοι γὰρ ἐκείνων οἱ τῆς θείας ἐπιβάσεως ἄξιοι καὶ ἀριθμοῦ κρείττους. χιλιάδας καὶ μυριάδας εὐθηνούντων καὶ καρποφορούντων τῷ θεῷ τὴν εὐσέβειαν ἡ νέα ἔχει κληρονομία, ἰθυνομένας καὶ τῶν στεφάνων ἀξιουμένας τε καὶ ἐπὶ τὸ βραβεῖον τῆς ἄνω κλήσεως ἐπειγομένας:— . . . [л. 43a] Ἐπιστρέψω ἐν βυθοῖς θαλάσσης:—

То же во второй псалтири: Ὁ δὲ Σύμμαχος οὕτως εἶπεν· κύριος ἀπὸ Βασὰν ἐπιστρέψαι ποιῆσαι ἀπὸ βυθῶν θαλάσσης.

ἡ Βασὰν δὲ ἑρμηνευομένη αἰσχύνην δηλοῖ, αἰσχύνη δὲ τῆς ἁμαρτίας καρπός. ἀπὸ ταύτης τοίνυν ἡμᾶς ὁ τῶν ὅλων θεὸς ἐπιστρέψει καὶ ἀπὸ τῶν τῆς θαλάσσης βυθῶν. τίς δὲ ὁ τῆς θαλάσσης βυθός, αὐτὸς διδάσκει ὁ προφήτης βοῶν· Ῥυσθείην ἐκ τῶν μισούντων με καὶ τῶν βαθέων τῶν ὑδάτων· μή με καταποντισάτω καταιγὶς ὕδατος, μηδὲ καταπιέτω με βυθὸς θαλάσσης, ὅπως ἂν βαφῇ ὁ πούς σου ἐν αἵματι. ἡ γλῶσσα τῶν κυνῶν σου

вторая псалтирь

ρωμένον, τούτεστι συνεστώς· τοιοῦτον γὰρ ὁ τυρὸς ἀεὶ συνεστὼς καὶ μὴ αὖθις εἰς γάλα ἀναλυόμενος. ἐπεὶ οὖν τοιοῦτον τοῦ θεοῦ τὸ ὄρος, μάτην τοῖς ἄλλοις ὄρεσιν ὑπολαμβάνειν τι, ἤτοι σπουδάζειν κατὰ Σύμμαχον καὶ κατωφρυῶσθαι — οὕτω γὰρ Ἀκύλας τὸ τετυρωμένον τέθεικε—τοῦ θεοῦ τοῦ ὄρους καὶ κατεπαίρεσθαι, ὃ μόνον εὐδόκησεν ὁ θεός, ἤτοι τὸ Σελμών, ναὸν ἅγιον ἐν αὐτῷ γενέσθαι βουληθείς, καὶ ἐν αὐτῷ μέχρι τῆς συντελείας κατασκηνώσει. οὕτω καὶ ταῦτα κατὰ τὸ γράμμα. ὡς δὲ ὁ Κύριος δῷ ῥῆμα τοῖς εὐαγγελιζομένοις τὸν λαὸν αὐτοῦ, ἀλληγορείτωσαν καὶ ἡμᾶς συνετιζέτωσαν. Ἄλλως. Τότε, φησί, μετὰ τὴν κατάπαυσιν ἔσται ὁ ναὸς κεκοσμημένος ὡς περιστερά, ἧς τὰ πτερὰ ἀργύρου λαμπρότητι ἔοικεν, ὑπο- [л. 14a] χλωραίνεται δὲ τὰ μετάφρενα χρυσίῳ· σημαίνων, ὅτι πολλῷ χρυσῷ καὶ ἀργύρῳ ὁ ναὸς κοσμηθήσεται διὰ πλούτου περιττότητα, ὅτε διαστείληται καὶ προστάξει βασιλεῖς ἐν αὐτῇ ἀναδείκνυσθαι. τὸ δὲ χιονωθήσονται ἀντὶ τοῦ λαμπροὶ ἀναδειχθήσονται ἐν Σελμὼν ἤτοι Σαλήμ· ἐκεῖνο γὰρ ἔστιν, ὃ πλη-

первая

То же во второй псалтири | ἐξ ἐχθρῶν παρ' αὐτοῦ:—Ὁ δὲ Σύμμαχος οὕτως· ὅπως ἂν κατεάξῃ ὁ πούς σου μετὰ αἵματος καὶ λάψῃ γλῶσσα τῶν κυνῶν σου ἀπὸ ἑκάστου τῶν ἐχθρῶν σου . . .

[л. 43ᵇ].✠"Αρχοντες Ἰούδα ἡγεμόνες αὐτῶν, ἄρχοντες Ζαβουλών, ἄρχοντες Νεφθαλείμ:—Ἐκ τούτων γὰρ τῶν φυλῶν τὸ γένος κατῆγον οἱ λοιποὶ ἀπόστολοι· καὶ οἱ μὲν καλούμενοι ἀδελφοὶ τοῦ Κυρίου, τὴν Ἰούδα φυλὴν πάντως εἶχον πηγήν. Πέτρος δὲ καὶ Ἀνδρέας καὶ Ἰάκωβος δὲ καὶ Ἰωάννης καὶ Φίλιππος ἀπὸ Βηθσαϊδὰ τῆς κώμης ὄντες ἐτύγχανον. Ματθαῖος καὶ Ἰάκωβος Ἀλφαῖος ἐν τῇ Καπερναοὺμ διάγειν ἱστόρηνται. Σίμων ὁ Ζηλωτὴς Κανανίτης ὠνόμασται. ταῦτα δὲ πάντα χωρία τῆς Γαλιλαίας ἐστὶ . . . .

вторая псалтирь

ρωθήσεται τῆς κατοικίας θεοῦ· τοῦτο γὰρ καλεῖ πιότητα. καὶ τετυρωμένον ἀντὶ τοῦ πεπυκνωμένον καὶ ἐστηριγμένον ἐν ἀγαθοῖς. καὶ μηδεὶς ὑπολάβοι τὰ λοιπὰ ὄρη ταῦτα εἶναι· ἐν τούτῳ γὰρ μόνῳ οἰκεῖν εὐδόκησε, καὶ οὐ μόνον οἰκεῖν, ἀλλὰ καὶ χρονίζειν· τοῦτο γὰρ τὸ κατασκηνώσει εἰς τέλος.—"Αλλως: Ἐὰν κοιμηθῆτε· τὸ τῶν κλήρων ὄνομα σημαίνει καὶ τοὺς τῶν ὑδάτων ἀγωγοὺς ὡς ἐν Γενέσει περὶ τοῦ Ἰσάχαρ· «ἀναμέσον τῶν κλήρων ἀνεπαύετο». ἐκ δὲ τοῦ ἱστορικῶς νοουμένου μεταβατέον ἐπὶ τὸ πνευματικόν, κλήρων νοουμένων τῆς παλαιᾶς καὶ καινῆς Διαθήκης· αὗται γὰρ ἄγουσι τὸν νοητὸν ταῖς ψυχαῖς ποτισμόν. τούτων τῶν δύο κλήρων κοιμᾶταί τις ἀναμέσον, ἑνὸς θεοῦ εἶναι αὐτὰς συγκατατιθέμενος. κοιμηθεὶς δὲ πτεροῦται κατὰ τὸ ἅγιον πνεῦμα νοῶν. ἐπεὶ δὲ καὶ κατὰ τὴν τοῦ ἱλασμοῦ ἡμέραν δύο προσήγοντο τράγοι καὶ κλήρου δοθέντος ὁ μὲν ἐθύετο, ὁ δὲ εἰς τὴν ἔρημον ἀπελύετο, ὃς καὶ ἀποπομπαῖος ἐλέγετο. σύμβολα δὲ ταῦτα ἀγαθοῦ καὶ κακοῦ. δεῖ τὸν [л. 14ᵇ] μεταξὺ τούτων τῶν κλήρων γενόμενον διακρῖναι, καὶ τὸ μὲν ἀγα-

первая

вторая псалтирь

θὸν τῷ Κυρίῳ ἱερουργῆσαι, τὸ δὲ κακὸν ἐκβαλεῖν ἀποπέμψαντα. περιστερὰν δὲ καλεῖ τοῦ πνεύματος τὴν ἐνέργειαν διὰ τὸ ἀκέραιον, πτέρυγας δὲ περιηργυρωμένας τὸν λόγον· πανταχοῦ γὰρ ἀργυρίῳ ἀπεικάζει τοῦτον, τὴν δὲ ἔννοιαν καὶ οἷον καρδίαν χρυσῷ· ὅσῳ γὰρ τιμιώτερον χρυσὸς ἀργυρίου καὶ καρδία λόγου· οὐ γὰρ λόγος γεννᾷ τὴν διάνοιαν, ἀλλ' ἡ καρδία τὸν λόγον. πτέρυγες δὲ περιστερᾶς, τοῦ ἁγίου πνεύματος νουμένου, οἱ ἐν παλαιᾷ καὶ καινῇ λόγοι, κατὰ μὲν τὴν ἐπιπόλαιον ἀνάγνωσιν, πτέρυξιν ὥσπερ κεκαλυμμένοι τυγχάνουσι περιηργυρωμέναις, ἐπεὶ τὰ λόγια Κυρίου ἀργύριον πεπυρωμένον, τὰ δὲ κατὰ βάθους ἐγκεκρυμμένα νοήματα ἔοικε μεταφρένοις τῇ αὐτῇ συνηρμοσμένοις χλωρότητι χρυσίου. λαμβάνεται δὲ τὸ μὲν χρυσίον ἐπὶ τοῦ ἀκραιφνοῦς νοῦ, ὃ ἔχει καὶ χλωρότητα ζωῆς σημαντικήν· σύμβολον γὰρ ζώντων φυτῶν τὸ χρῶμα. κλῆροι δύο, πρᾶξις καὶ θεωρία, αἷς τοῖς ἐπαναπαυσαμένοις δοθήσονται πτέρυγες περικαλλεῖς, ἤτοι τοῦ πνεύματος χάρις, ὥστε μὴ φρονεῖν γήϊνα, ἀλλ' αναστῆναι χαμόθεν.—Ἐν τῷ διαστέλλειν: τοῦτο εἰς τὸν σωτῆρα. ἐν τῷ διο-

первая

вторая псалтирь

ρίζειν φησὶ τοὺς βασιλεῖς ἐπ' αὐτῆς τῆς γῆς τίνες ὀφείλουσι πιστεύεσθαι τὸ κήρυγμα. Χιονωθήσονται ἐν Σελμών, ἀντὶ τοῦ ἐν εἰρήνῃ καθαρθήσονται· Σελμὼν μὲν γὰρ εἰρήνη· τὸ δὲ κήρυγμα τῶν ἀποστόλων τὴν [л. 15a] οἰκουμένην ἐλεύκανε. τὴν δὲ ἔνσαρκον οἰκονομίαν ὄρος τετυρωμένον. ὄρος μέν, ὅτι πάσης πραγματείας ἡ οἰκονομία ὑψηλοτέρα, τετυρωμένον δὲ ὡς τὰ ἐσκορπισμένα συνάγουσαν καὶ τὰ ὑδαρὰ πηγνῦσαν. τί δὲ διασταλεῖσι τοῖς βασιλεῦσιν ἐπακολουθεῖ, εὐθὺς ἐπήγαγεν ὁ λόγος εἰπών· Χιονωθήσονται ἐν Σελμών, τουτέστι πληρωθήσονται χιόνος· αὗται δέ εἰσιν ἀρεταὶ ποτίζουσαι τὸν νοῦν καὶ ἀναψύχουσαι φλόγα τὴν τῶν παθῶν. ποῦ δὲ χιονωθήσονται; ἐν Σελμών, ὃ μεταλαμβάνεται εἰς τὸ σκιὰ μερίδος. μήποτε οὖν, ἐπεὶ οἱ διαστελλόμενοι βασιλεῖς (εἰσὶ δὲ οἱ ἀπόστολοι) ἰουδάϊσάν ποτε τηροῦντες τὸν κατὰ σκιὰν νόμον, μερίδος εἰσὶ σκιᾶς, ἔχοντες μὲν τὴν πνευματικὴν μερίδα, πεπειραμένοι δὲ καὶ τῆς σκιᾶς; εἰ δὲ τὸ Σελμὼν εἰρήνη, οἶκος δὲ εἰρήνης ἡ ἐκκλησία, τοὺς βαπτιζομένους λέγει λευκανθίζεσθαι. ὄρος δὲ πῖον ὁ θεός, ἐνανθρω-

первая вторая псалтирь

πήσας δὲ καὶ σάρκα λαβὼν ἐκλήθη τετυρωμένον, οὕτω καλουμένης τῆς ἀνθρωπίνης γενεᾶς, ὡς παρὰ Ἰώβ· Ἐτύρωσας δέ με ἴσα τυρῷ. εἶτα καὶ τετυρωμένος γεγονὼς ἀβλαβῆ φυλάττει τὴν θεότητα καὶ μετὰ τὸ τετυρῶσθαι, πῖον ὢν καὶ πρὸ τούτου καὶ μετὰ τοῦτο. ὄρος καὶ ἡ ἐκκλησία, εὐτραφεῖς ἀπεργαζομένη καὶ λιπώσας τὰς ψυχὰς τῶν πιστῶν διὰ τοῦ γάλακτος, τοῦ ἁπλουστέρου δηλαδὴ λόγου. διὸ καὶ ἐπιτιμᾷ τοῖς τὰς τῶν αἱρετικῶν ἐκκλησίας ὑπολαμβάνουσιν εἶναι τετυρωμένας. οὐδέν φησιν ἔχουσι [л. 15b] δυνάμενον τρέφειν εἰς ἕξιν πνευματικήν. εἰς τί οὖν φησι τοῦτο ὑπολαμβάνετε καὶ μὴ μᾶλλον τὸ ὄρος ἐν ᾧ εὐδόκησεν; ὧδε γάρ φησι κατοικήσω, ὅτι ᾑρετισάμην αὐτὴν πῖον, ὡς εὔυδρον καὶ εὐανθές, τετυρωμένον ὡς συνεστηκός· οὐδὲν γὰρ ὑδαρὲς ἐν ἐκκλησίᾳ. εἶεν δ' ἂν ὄρος καὶ οἱ ἀπόστολοι ὡς πολλὴν πιότητα δεξάμενοι ὑπὸ τῆς θείας χάριτος. τὸ δὲ ὃ ε ὐ δ ό κ η σ ε πρὸς τοὺς ἐξ Οὐαλεντίνου οἰομένους τοσαύτας οὐσίας ὑποκεῖσθαι ταῖς τοῦ θεοῦ προσηγορίαις, ὅσαιπερ αὗται τυγχάνουσιν. ἕτερον οὖν λέγουσι τὸν Χριστὸν παρὰ τὸν

первая

Эта же самая мысль выражена и здѣсь. Смотри выше.

[л. 44^а] ✡ Ἐπετίμησας τοῖς θηρίοις τοῦ καλάμου. Ἔνια δὲ τῶν ἀντιγράφων δρυμοῦ ἔχει. εἴτε δὲ δρυμός, εἴτε κάλαμος, ἡ ἀκαρπία διὰ τούτων σημαίνεται . . . .

вторая псалтирь

Ἰησοῦν καὶ ἕτερον τὴν σοφίαν. καὶ ἐπὶ τῶν ἄλλων ὡσαύτως ἔστιν ἐκλαβεῖν τὸ ἵνα τί ὑπολαμβάνετε καὶ πρὸς Ἰουδαίους. καὶ οἶδε γὰρ λέγουσιν ἡμῖν· Τί ἐρίζετε παρισοῦσθαι τῷ ὄρει, ὃ οἰκητήριον ἀπέφηνεν ὁ θεός; πρὸς οὓς ἐροῦμεν· Ἀλλ᾽ οὐ κατεσκήνωσεν ἐν αὐτῷ εἰς τέλος, ῥητὸν δέ τινα χρόνον οἰκήσας, ἀπώσατο εἰπών· Ἰδοὺ ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος. ἐν ἡμῖν δὲ αἰώνιον ἕξει τὴν οἴκησιν. За симъ непосредственно слѣдуетъ: Τὸ ἅρμα τοῦ θεοῦ μυριοπλάσιον . . . [л. 16^а] ἐν πλημμελείαις αὐτῶν. . . [л. 17^а] Ὁ δὲ Σύμμαχος· κορυφὴν ἔντριχον ἀναστρεφομένην ἐν πλημμελείαις αὐτῆς . . . [л. 16^а] Κατὰ δὲ τὸ πνεῦμα καὶ τὴν νέαν Διαθήκην, ἅρμα θεοῦ οἱ θεῖοι ἀπόστολοι, καὶ οἱ μετ᾽ ἐκείνους διδάσκαλοι οἱ τῇ τοῦ βίου καθαρότητι θεὸν ἔχοντες ἔποχον εὐθηνοῦνται μυριοπλασίως τοῖς ὑπ᾽ αὐτῶν σῳζομένοις . . . .

Ἐπιτίμησον τοῖς θηρίοις τοῦ καλάμου. Εὔχεται ἐπιτιμηθῆναι τοὺς νοητοὺς λέοντας, οἳ ὥσπερ οἱ ἐν τῷ καλάμῳ λέοντες (τόπος δὲ ἦν) ἐνήδρευον τοὺς δι᾽ αὐτοῦ πρὸς

первая

[л. 47b] Ἑρμηνεία τοῦ ξθ' ψαλμοῦ. Εἰς τὸ τέλος τῷ Δαβίδ. εἰς ἀνάμνησιν εἰς τὸ σῶσαί με κύριον:—Τοῦτο δὲ ἐν ἐνίοις ἀντιγράφοις εὗρον οὔτε παρὰ τῷ Ἑβραίῳ, οὔτε παρὰ τοῖς ἄλλοις ἑρμηνευταῖς. συμβαίνει [1]) δὲ ὅμως ἡ τοῦ ψαλμοῦ διάνοια· σωτηρίαν γὰρ ὁ προφήτης αἰτεῖ καὶ τῶν πολεμούντων ἀπαλλαγήν. εἴρηκε δὲ τὸν ψαλμὸν ὁ μακάριος Δαβὶδ ὑπὸ τοῦ Ἀβεσαλὼμ διωκόμενος· εἰκότως δὲ τὸ εἰς ἀνάμνησιν τῇ ἐπιγραφῇ πρόσκειται· ἡ γὰρ μνήμη τῆς ἁμαρτίας αὐτὸν ἐκέντει τῶν πολεμίων σφοδρότερον . . . .

Не

вторая псалтирь

Ἱερουσαλὴμ ἀναβαίνοντας, οὕτως καὶ οὗτοι τοῖς πρὸς τὴν ἄνω Ἱερουσαλὴμ ἀνιοῦσιν ἐπιβουλεύουσι.

68 Ψαλμ. — Ἔδωκαν εἰς τὸ βρῶμα μου χολὴν . . . ὡς εἶναι τὰ ῥητὰ (подразум. ταῦτα) καὶ ἱστορίαν καὶ προφητείαν. καὶ πρὸς μὲν ἱστορίαν καθ' ὑπερβολήν, πρὸς δὲ προφητείαν κατὰ ἀλήθειαν . . .

—69 Ψαλμ.—Εἰς τὸ τέλος ὑπὲρ τῶν ἀλλοιωθησομένων τῷ Δαβὶδ εἰς ἀνάμνησιν. Τὸ εἰς ἀνάμνησιν, ἀντὶ τοῦ εἰς τὸ μεμνῆσθαι διηνεκῶς τῆς χάριτος μετὰ τὸ τυχεῖν· ἔστι γὰρ ὁ ψαλμὸς ἐξ αὐτοῦ τοῦ Δαβὶδ εἰρημένος καὶ ὁ μετ' αὐτόν, ὁπηνίκα ὑπὸ τοῦ Ἀβεσσαλὼμ ἐδιώκετο . . . . ἢ εἰς ἀνάμνησιν, ἐπεὶ ἡ μνήμη τῆς ἁμαρτίας ἐκέντει αὐτὸν καὶ πρὸς ἐπιστροφὴν ὑπῆγεν. δύναται δὲ καὶ ἀπὸ Χριστοῦ προσάγεσθαι ὑπὲρ τῆς ἀνθρωπότητος.

[л. 32b]... Ὅτι οὐκ ἔγνων γραμματείας, εἰσελεύσομαι ἐν δυναστείᾳ Κυρίου. . . ὁ θεὸς τίς ὅμοιός σοι; — Γραμματείας καλεῖ τοὺς ψήφους καὶ τοὺς

[[1]) XIX вѣка рукой переправл. въ σημαίνει.]

первая — вторая псалтирь

ἀριθμοὺς ἀπὸ τοῦ τοὺς γράμματα εἰδότας εἰς ταῦτα ἐνεργεῖν· βούλεται γὰρ εἰπεῖν, ὅτι οὐδὲ ἀριθ-
слп- μῆσαι δύναμαι τὰ ὑπάρξαντά μοι ἀγαθά. ὁ δὲ Σ ύ μ μ α χ ο ς σαφέστερον· οὐ γὰρ οἶδα ἐξαριθμῆσαι, ἵν' ᾖ ὅτι, εἰ διηνεκῆ τὴν εἰς σὲ εὐχαριστίαν ποιοῦμαι οὐδ'
чалъ οὕτως ἐξαριθμήσαιμι [л 33ª] τὰς παρὰ σοῦ χάριτας. οἱ μὲν σ' γ ρ α μ μ α τ ε ί α ς τοὺς τότε γραμματεῖς, οἷς ἔργον ἦν τὸ ἀριθμεῖν τὸν κατάλογον τῶν στρατιωτῶν, ὡς οἱ νῦν βασιλικοὶ νο-
я. τάριοι . . .

70 Ψαλμ., [л. 30ᵇ]...'Ε π ὶ σ ὲ ἐ π ε σ τ η ρ ί χ θ η ν ἀπὸ γαστρός· εἰ μὴ γὰρ θεοῦ δύναμις ἐφρού-
Пе ρει τὰ κατὰ γαστρός, οὐκ ἂν μετέσχε ζωῆς· αὐτὸς γάρ ἐστιν [л. 31ª] [ὁ τῇ] δημιουργῷ αὐτοῦ προνοίᾳ ἐξάγων ταῦτα εἰς φῶς. ἐν μόνῳ δὲ τοῦτο μᾶλλον ἁρμόσει Χριστῷ, [ἀνάλωτον / ἀδούλωτον] ἐσχηκότι τὸν νοῦν ἐκ γαστρός,
слп- καὶ τέρας δείξαντι πολλοῖς, διὰ τὸ τοὺς μὲν δοκήσει λέγειν [τὴν] 'Ιὸ [1]) ἐπιφάνειαν, τοὺς δὲ ψιλὸν ἄνθρωπον λέγειν αὐτὸν βλασφημοῦντας. τέρας δὲ αὐτοῦ καὶ ὁ θάνατος, ἀπιστουμένης τῆς ἀναστάσεως. ἀλλὰ καὶ ἡ γέννησις

[1]) [= ιω̅ т. е. 'Ιησοῦ?] 'Ιὸς = θεός.

первая

чалъ

я

[л. 48ᵃ] Ἑρμηνεία τοῦ ο' ψαλμοῦ τῷ Δαβίδ. Ψαλμὸς τῶν υἱῶν ⟨Ἰων⟩αδὰβ καὶ τῶν πρώτων αἰχμαλωτισθέντων ἀνεπίγραφος παρ' Ἑβραίοις:—Ὡμολόγησε καὶ αὐτὸς ὁ τὴν ἐπιγραφὴν ποιησάμενος μὴ εὑρηκέναι ταύτην παρὰ τῷ Ἑβραίῳ, ἀλλ' αὐτὸς αὐτὴν τεθεικέναι. ἰστέον μέντοι, ὡς οἱ τοῦ Ἰωναδὰβ υἱοὶ οἱ πρῶτοι ᾐχμαλωτεύθησαν . . .

[л. 55ᵇ] Ἑρμηνεία τοῦ οα' ψαλμοῦ. Εἰς Σαλαμών. Ὅτι τῷ Σαλαμῶντι οὐδαμῶς ὁ προκείμενος ἁρμόττει ψαλμός, οἶμαι καὶ Ἰουδαίους ἂν ὁμο-

вторая псалтирь

αὐτοῦ [τ]εράστιον ἦν διὰ τὸ μὴ κατὰ φύσιν. τὸ δὲ ἐν σοὶ ἡ ὕμνησίς μου, τοιοῦτον· ὁ ὁμολογῶν θεὸν ἔμπροσθεν ἀνθρώπων ἐν αὐτῷ αὐτὸ ποιεῖ, ἵν' ἀκολούθως καὶ αὐτὸς ὁμολογηθῇ ἀπὸ τοῦ πατρός, ὄντος ἐν τῷ ὁμολογοῦντι αὐτόν. ὡς οὖν αὐτὸς ἐν τῷ μετεχομένῳ, οὕτω καὶ ὁ μεθεκτὸς ἐν τῷ μετέχοντι, καθὸ λέγομεν ἐν τῷ σπουδαίῳ τὴν ἀρετὴν καὶ τὴν ἀρετὴν ἐν τῷ σπουδαίῳ. ἄλλων οὖν ὑμνούντων ἄρχοντας ἡ ἐμὴ ἐν σοί, καὶ οὐκ ἐν ἄλλῳ.—Γράφεται καὶ ἡ ὑπόμνησις· οὐ γὰρ ἐν ἄλλῳ δεῖ ἔχειν τὸν νοῦν, ἀλλ' ἐν θεῷ . . .

Не

спи-

чалъ я.

А это и здѣсь такъ же.

— [л. 34ᵃ] Εἰς Σαλομῶν ψαλμός. Ἀληθεύει ἡ ἐπιγραφή· εἰς γὰρ τὸν Σολομῶντα τείνει καὶ εἰς τὸ ἐξ ἐκείνου γένος, δήλου ὄντος, ὅτι τὰ καθ' ὑπερβο-

первая

λογῆσαι τἀληθῆ λέγειν ἐθέλοντας, ἧπου γε καὶ τῆς πίστεως τοὺς τροφίμους· πρῶτον μὲν γὰρ οὔτε τῶν περάτων τῆς γῆς ἐκράτησε Σαλαμών, οὔτε τὸν παρὰ τῶν ἑσπερίων καὶ ἑῴων ἐδέξατο φόρον· ἔπειτα ἄνθρωπος ὢν τὸν τῇ φύσει σύμμετρον διαβιώσας χρόνον τοῦ βίου τὸ τέλος ἐδέξατο, καὶ τοῦτο οὐκ εὐκλεές. ὁ δὲ ψαλμὸς ἡλίου καὶ σελήνης πρεσβύτερον δείκνυσι τὸν προφητευόμενον· ἀκριβέστερον δὲ ταῦτα ἡ τῶν ῥητῶν ἑρμηνεία διδάξει. καὶ ἡ ἐπιγραφὴ δὲ οὐκ ἀνάρμοστος [л. 51ᵃ] ἀτεχνῶς τῷ σωτῆρι συμβαίνουσα· Σαλαμὼν γὰρ εἰρηνικὸς ἑρμηνεύεται . . .

Не

сли

чено.

[л. 51ᵇ] ⁜ Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον... Διὰ τούτων σαφῶς ἡμῖν τὴν ἀνθρωπείαν αὐτοῦ ὑπέδειξε γέννησιν ...

вторая псалтирь

λὴν εἰρημένα εἰς τὸν Χριστὸν ἀναφέρεται, ἐφ᾽ οὗ τὰ πράγματα ἐξέλαμψεν· ἐπηγγείλατο μὲν γὰρ ὁ θεός, ἀπέκρυψε δὲ καὶ τὸ πρόσωπον καὶ τὸν χρόνον. ὅθεν εἴ τινα εἶδον ἐκ τοῦ γένους λαμπρὸν τοῦ Δαβίδ, Χριστὸν ἐπεφήμιζον, ὡς Ἐζεκίαν, ὡς Ἰωσίαν, οὕτω καὶ Σολομῶντα διὰ τὴν πολλὴν σοφίαν, [л. 34ᵇ] ᾧ καὶ ἔθνη ὑπετάγη καὶ δῶρα ἐπέμφθη ἐκ βασιλέως. ἐν σχήματι δὲ εὐχῆς αὐτὰ εἰσάγει, οὐ κατὰ προφητείαν· τὸ μὲν γὰρ παρακλήσεως ἐδόκει, τὸ δὲ ἐξ ἀλαζονείας. ἔοικε δὲ καθαρῶς εἰς Χριστὸν εἰρῆσθαι, ὃν ἡλίου καὶ σελήνης πρεσβύτερον δείκνυσιν ὁ ψαλμός· εἰρηνικὸς γὰρ σημαίνοντος τοῦ Σολομών, Χριστὸς ἐστὶν ἡ εἰρήνη ἡμῶν. Ὁ θεὸς τὸ κρίμα σου . . . . . γενεὰς γενεῶν. — Ὥσπερ βασιλέα καὶ υἱὸν βασιλέως τὸ αὐτὸ λέγει, οὕτως καὶ δικαιοσύνην καὶ κρῖμα τὸ αὐτό· ἔθος γὰρ τῇ Γραφῇ ἓν πρᾶγμα ὡς β′ λέγειν εἰς πλείονα μνήμην τοῦ ἀναγινώσκοντος . . .

—[л. 35ᵃ] Καταβήσεται ὡς ὑετὸς ἐπὶ πόκον . . . Τὰ τῆς σοφίας αὐτοῦ ῥήματα ἐμπεσεῖται ταῖς ψυχαῖς τῶν ἀνθρώπων, ὡς δρόσος εἰς γῆν διψῶσαν ἢ ὡς

первая

вторая псалтирь

ὑετὸς ἐπὶ πόκον φυσικῶς καταδεχόμενον τὴν ὑγρασίαν· ἢ διὰ τούτου τὴν ἀνθρωπείαν Χριστοῦ ὑπέδειξε γέννησιν ἀψοφητὶ γενομένην καὶ [л. 35[b]] λανθανόντως καὶ μυστικῶς. ἕτερος δὲ οὐ τὸ λανθάνον λέγει σημαίνεσθαι διὰ τούτων καὶ ἀνεπαίσθητον (ἔγνωστο γὰρ τῷ Γαβριήλ), ἀλλὰ καὶ τὸ συναφὲς τοῦ λόγου πρὸς τοῦτο τείνει· εἰ γὰρ καὶ ἀψοφητὶ κάτεισιν ἐπὶ πόκον ὁ ὑετός, ἀλλ᾽ ἥ γε σταγὼν σὺν ψόφῳ πάντως ἐπὶ γῆς. ἀλλ᾽ οἶμαι, ὡς πόκος ἡ παρθένος τῷ προπάτορι κατωνόμασται, ὡς ἐκείνων γένος, ὧν προβάτου δορὰ τὴν γύμνωσιν περιέστειλε. καὶ ἵν᾽ ἐπ᾽ αὐτῇ τὸ τοῦ τοῦ Γεδεὼν τελεσιουργούμενον ἐκφανῇ . . .

[л. 51[a]]✳ Καὶ πλῆθος εἰρήνης ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη:— Πάλαι μὲν γὰρ αἱ τοπαρχίαι καὶ αἱ καθ᾽ ἕκαστον ἔθνος διῃρημέναι βασιλεῖαι συχνοῖς πολέμοις ταλαιπωρούμεναι τοῦ δώρου τῆς εἰρήνης ἀπολαύειν οὐκ εἶχον· διηνεκῶς γὰρ τὸν ὁπλητικὸν μετῄεσαν βίον. καὶ τούτους τοὺς πολέμους πολλοὶ καὶ Ῥωμαίων καὶ Ἑλλήνων συνέγραψαν. διδάσκουσι δὲ ἡμᾶς

Не

Слп

первая

καὶ αἱ τῶν Μακκαβαίων ἱστορίαι, ὅσα προὐξένουν αἱ τοπαρχίαι κακά. μετὰ δὲ τὴν τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν ἐνανθρώπησιν πέπαυται μὲν ἐκεῖνα, μία δὲ βασιλεία τῆς καθ' ἡμᾶς οἰκουμένης κρατεῖ· μόνη εἰρήνη πολιτευομένη πολλὴν τῷ θείῳ κηρύγματι δέδωκε τὴν ἰσχύν. τὸ δὲ ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη, ἀντὶ τοῦ πάντα τοῦ παρόντος βίου τὸν χρόνον· περιττὸν γὰρ καὶ περὶ τοῦ μέλλοντος λέγειν, καθ' ὃν εἰρήνη ἀληθὴς πολιτεύεται: —

[л. 52ᵃ] ✻ Ἐνώπιον αὐτοῦ προπεσοῦνται Αἰθίοπες· καὶ οἱ ἐχθροὶ αὐτοῦ χοῦν λείξουσι . . . . δῶρα προσάξουσι:—Θαρσεῖς τὴν Καρχηδόνα τὴν τῆς Λιβύης προκαθημένην καὶ ὁ μακάριος Ἠσαΐας καὶ ὁ θαυμάσιος Ἰεζεκιὴλ ὀνομάζουσιν. Σαβὰ δὲ Αἰθιο[л. 52ᵇ]πικὸν ἔθνος· ἀλλὰ Λίβυες μὲν οἱ καὶ Ἄφροι προσαγορευόμενοι τὰ ἑσπέρια κατοικοῦσι τμήματα, Αἰθίοπες δὲ τὰ ἑῷα καὶ νότια, Ἄραβες δὲ τὴν μέσην ἤπειρον, οἱ δὲ νησιῶται τῆς θαλάττης τὰ μέσα...

. . . [л. 52ᵇ] ✻ Πάντα τὰ ἔθνη δουλεύσουσιν αὐτῷ:— βαίνει ταῦτα τῇ τοῦ πατριάρχου

вторая псалтирь

че

но

— . . . [л. 36ᵇ] Ἐπεὶ δὲ Αἰθίοπας εἶπε τοὺς ἐξωτέρω, λέγει ὅτι καὶ οἱ τὰ παρὰ θάλασσαν οἰκοῦντες δῶρα προσοίσουσι· θαρσεῖς γὰρ τοὺς παραθαλαττίους καλεῖ τόπους· καὶ Ἰωνᾶς γὰρ κατέβη εἰς Θαρσεῖς τοῦ ἐκπλεῦσαι. εἰπὼν δὲ πάντα τὰ ἔθνη, νομισθήσεται πρὸς ὑπερβολὴν λέγειν· ἀλλ' εἶπον, ὡς οὐκ ἔστι μόνον προφητεία, ἀλλὰ καὶ εὐχή. ὁ δὲ εὐχόμενος οὐ κωλύεται μεγάλα αἰτεῖν, καὶ μάλιστα, ὅταν ὑπὲρ υἱοῦ ποιῆται τὴν εὐχήν . . .

. . . [л. 37ᵃ] Θαρσεῖς δὲ οἱ μὲν τὴν Καρχηδόνα τῆς Λιβύης προκαθημένην, οἱ δὲ τὴν Ταρσόν, εἰς ἣν ἔφυγεν Ἰωνᾶς,

✻

первая

Ἰακὼβ προφητεία· ὅτι αὐτὸς προσδοκία ἐθνῶν. ὁρῶμεν δὲ καὶ τὸ τῆς προρρήσεως τέλος. οὐδὲ γάρ ἐστιν ἔθνος τῶν εὐαγγελικῶν κηρυγμάτων ἀνήκοον, ἀλλ' εἰσὶν ἐν ἑκάστῳ οἱ τῆς θεογνωσίας τὴν αἴγλην δεξάμενοι: . . .—

. . . [л. 53a] ✻ Καὶ ζήσεται καὶ δοθήσεται αὐτῷ ἐκ τοῦ χρυσίου τῆς Ἀραβίας: —Ἀντὶ τῆς Ἀραβίας, Σαβὰ τεθείκασιν οἱ λοιποὶ ἑρμηνευταί. καὶ τοῦτο μέντοι κἀκεῖνο τὰ ἀναθήματα προθεσπίζει . . .

✻ Ἔσται τὸ ὄνομα [л. 53b] αὐτοῦ εὐλογημένον εἰς τοὺς αἰῶνας· πρὸ τοῦ ἡλίου διαμενεῖ τὸ ὄνομα αὐτοῦ: — Τὸ εὐλογημένον παρ' οὐδενὶ κεῖται, οὔτε ἐν τῷ Ἑξαπλῷ οὔτε παρ' Ἑβραίοις . . .

вторая псалтирь

οἱ δὲ χρῶμα ὑακίνθινον, ὡς ἐν τῷ εἶδος θαρσεῖς. Σαβὰ δὲ πόλις Ἰνδίας, ἀφ' ἧς ἡ βασίλισσα Νότου ἦλθε πρὸς Σαλομών . . .

— . . . [л. 39a] Ἄλλως· ἔσται τὸ ὄνομα αὐτοῦ εὐλογημένον· παρ' οὐδενὶ κεῖται . . .

Конецъ толкованія этого псалма.

. . . [л. 39b] Ἐν πάσῃ τῇ γῇ δῆλος ἔσται ὁ τῶν ὅλων θεὸς καὶ ὑπὸ πάντων δοξασθήσεται. διὸ καὶ ἐπεύχεται πέρας τὴν προφητείαν λαβεῖν διὰ τοῦ γένοιτο, γένοιτο· ἢ κατὰ τὸν Ἀκύλαν, πεπιστωμένος. ἀληθῆ φησι τὰ εἰρημένα καὶ δεῖ πάντως

первая

[л. 54а] Ἑρμηνεία τοῦ οβ′ ψαλμοῦ. Ψαλμὸς τῷ Ἀσάφ:— Καὶ ἤδη προειρήκαμεν, ὅτι καὶ τοῦτον τινὲς ψαλτογράφον ἔφασαν, τινὲς δὲ μελοποιὸν καὶ τῶν ᾀδόντων χοροδιδάσκαλον, ἄλλοι δὲ τὸν μὲν Δαβὶδ εἶπον καὶ τούσδε τοὺς ψαλμοὺς εἰρηκέναι, τὸν δὲ Ἀσὰφ γεγραφέναι. ἀλλὰ ταῦτα μὲν εἰ βούλεταί τις, δεχέσθω· οὐδὲ μία γὰρ ἐντεῦθεν βλάβη τοῖς οὕτως ἢ ἐκείνως δεχομένοις φυήσεται. ἡμεῖς δὲ τοῦ ψαλμοῦ τὴν διάνοιαν, τῆς χάριτος φωταγωγούσης, ποιησώμεθα δῆλον . . .

Не

вторая псалтирь

πέρας λαβεῖν. ἐν δὲ τῷ Ἑβραϊκῷ ἀντὶ τοῦ γένοιτο ἀμήν, ἀμήν.

Ἄλλως: Εὐλογητός φησι ὁ τοῦ διορατικοῦ γένους θεός, οὗ ὄνομα δόξης ἡ θεότης τυγχάνει. διὰ δὲ τοῦ ἐπιδιπλασιάζειν τὴν εὐχὴν δείκνυσιν, ὡς ἀδιαστάτως καὶ συνεχῶς δεῖ τοῦτο ποιεῖν: —

οβ′. Ἐξέλιπον οἱ ὕμνοι Δαβὶδ τοῦ υἱοῦ Ἰεσσαί. Ψαλμὸς τῷ Ἀσάφ: — Εἴρηται πολλάκις, ὡς διάφορος εὑρίσκεται τῶν ἐπιγραψάντων ἡ πλάνη· ἀπολομένου γὰρ τοῦ βιβλίου καὶ κατὰ μέρος εὑρισκομένων ψαλμῶν, ὡς τῷ εὑρόντι ἐδόκει, ἐπέγραψεν, ὡς καὶ ὁ τὸν παρόντα Ἀσὰφ ἐπιγράψας. δεῖ δὲ εἰδέναι, ὡς πάντες εἰσὶ τοῦ Δαβίδ, καὶ οἱ μὲν ἐδίδοντο τῷ Ἀσάφ, οἱ δὲ τῷ Ἰδιθούμ· οἱ δὲ τοῖς υἱοῖς Κορέ, ὥστε ἁρμόσαι αὐτοὺς τοῖς ὀργάνοις ψαλτῳδοὺς ὄντας καὶ κορυφαίους τῶν ὕμνων. εἴρηται δὲ οὗτος, ὡς ἐκ τῶν ἐν Βαβυλῶνι, μᾶλλον δὲ τῶν ἐν αὐτοῖς φιλαρέτων.

— . . . [л 41а] Ἐν κόποις ἀνθρώπων οὐκ εἰσί· καὶ μετὰ ἀνθρώπων οὐ μαστιγωθήσονται . . . .

первая

сход-

но.

[л. 56^b—57^a] Ἑρμηνεία τοῦ ογ΄ ψαλμοῦ συνέσεως τῷ Ἀσάφ: — Τὴν ἐσομένην τῆς Ἱερουσαλὴμ πανωλεθρίαν ὁ προφητικὸς προθεσπίζει λόγος· ἐπιστῆναι καὶ συνιέναι κελεύει τοῖς ἐντυγχάνουσιν τοῦ ψαλμοῦ τὴν διάνοιαν. τινὲς μέντοι τοῖς ὑπὸ Ἀντιόχου τοῦ Ἐπιφανοῦς γεγενημένοις προσήρμοσαν τὸν ψαλμόν, οὔτε τῇ ἱστορίᾳ προσεσχηκότες, οὔτε τοῦ ψαλμοῦ τὴν προφητείαν ἀκριβῶς νενοηκότες· ὁ μὲν γὰρ ψαλμὸς [л. 57^a] ἐμπρησμὸν προλέγει τοῦ θείου νεὼ . . . .

вторая псалтирь

[л. 41^b] Ἄλλως: Ἐν κόποις ἀνθρώπων οὐκ ἐξετάζονται. γηπονοῦντες καὶ τροφὴν ἐκ χειρῶν πορίζόμενοι διὰ πενίαν· τοὐναντίον δὲ πλούτῳ περιρρεόμενοι· ἐντρυφῶντες καὶ μηδὲν ὅμοιον πάσχοντες ἀνθρώποις τοῖς καθ' ἑκάστην μαστιζομένοις δι' ἐπιπόνου βίου καὶ μοχθηροῦ. ὁ γὰρ διὰ χειρῶν βίος οἷον μάστιξ δέδοται τοῖς ἀνθρώποις. ὁ δὲ Σύμμαχος· οὐκ ἐνεθυμοῦντο περὶ θανάτου· στερεὰ γὰρ ἦν τὰ πρόπυλα αὐτῶν, ὡς ἐν τούτοις ὄντων καὶ μὴ δεχομένων τὰ ἐπίχειρα, ἐκράτησεν αὐτοὺς ἡ ὑπερηφανία . . .

[л. 46^b] ογ΄. Συνέσεως τῷ Ἀσάφ. Ἐκ προσώπου τῶν Μακκαβαίων εἴρηται, ἡττηθέντων ὑπὸ τῶν τοῦ Ἀντιόχου στρατηγῶν καὶ δεομένων ἀπαλλαγῆς. ἡ γὰρ ἐν τοῖς ῥητοῖς περιπάθεια ταύτην εἶναι πείθει τὴν ὑπόθεσιν. παρορμᾷ δὲ ἡμᾶς ἐπὶ τὴν τῶν λεγομένων σύνεσιν τὸ προφητικὸν πνεῦμα, τὰ μέλλοντα ὡς παρῳχηκότα διεξιόν, τὴν ἐσχάτην νοεῖν πολιορκίαν τὴν ὑπὸ Ῥωμαίων· τότε γὰρ αὐτῶν παντελὴς ἀπόπτωσις γέγονεν . . .

Читай ниже подъ буквою А

первая	вторая псалтирь
...[л. 57ᵇ] ※ Ὅσα ἐπονηρεύσατο ὁ ἐχθρὸς ἐν τῷ ἁγίῳ σου: — Οὔτε ὁ Ἑβραῖος, οὔτε οἱ λοιποὶ ἑρμηνευταί, οὔτε μὴν οἱ Ο΄ ἐν τῷ Ἑξαπλῷ πληθυντικῶς ἐν τοῖς ἁγίοις τεθείκασιν, ἀλλ' ἑνικῶς, ἐν τῷ ἁγίῳ, ὡς εἶναι δῆλον, ὅτι περὶ τοῦ ναοῦ ταῦτα οἱ λέγοντες λέγουσιν ὀλοφυρόμενοι καὶ θρηνοῦντες τὰ ὑπ' ἐκείνων εἰς τοῦτο γεγενημένα...	Не сличено.
Этого нѣтъ здѣсь.	[л. 48ᵃ] Ἔθεντο τὰ σημεῖα αὐτῶν σημεῖα καὶ οὐκ ἔγνωσαν.... Ἄλλως. Ἔθεντο τὰ σημεῖα αὐτῶν ἐπισήμως γνώρισμα κατὰ τὴν εἴσοδον ἐπάνω· σημεῖα γὰρ τῆς νίκης αὐτῶν ἐπάνω τῆς πύλης ἔστησαν ἢ ἐνεκόλαψαν τὴν νίκην αὐτῶν θριαμβεύοντες.

вторая псалтирь

— ... [л 50ᵃ⁻ᵇ] Ὁ δὲ θεὸς βασιλεὺς ἡμῶν πρὸ αἰῶνος εἰργάσατο σωτηρίαν ἐν μέσῳ τῆς γῆς.... μισούντων σε ἀνέβη διαπαντός. Τοῦτο τοῖς ἄνω συνῆπται· ἐπεὶ γὰρ πρόκειται τῶν ἐχθρῶν ἡ βλασφημία λεγόντων, ὅτι ἀναρπάσωμεν τοὺς Ἑβραίους, ὡς μήτε θεὸν ἔχοντας βοηθόν, μήτε προφήτην τὸν τὴν ἡμῶν καταμηνύοντα ἔφοδον, διὰ τοῦτο ὥσπερ ἀναμιμνήσκων τὸν θεὸν τῶν εἰς αὐτοὺς γεγενημένων θαυμάτων πάλαι, ταῦτα προφέρει λέγων, ὅτι αὐτοὶ μὲν ταῦτα δυσφήμως λέγουσι καὶ ἀπίστως, σὺ δέ, Κύριε, μνησθεὶς τῶν πρίν σου θαυμάτων ὡς περιφανῶς ἔσωσας ἐκ μέσου γῆς Αἰγύπτου, ὡς τὴν ῥοώδη θάλασσαν ἐστερέωσας σχίσας τὴν ὑγρὰν οὐσίαν αὐτῆς καὶ τὰ ἐφ' ἑκάτερον αὐτῆς τμήματα ἐπισχών, ὡς τὸν

Φαραὼ σὺν τοῖς τριστάταις καὶ ἅρμασι συνέτριψας, ὡς δρακοντείους κεφαλὰς ἐπὶ τοῦ ὕδατος· ὡς τοὺς αὐτοὺς Αἰγυπτίους πλησιοχώρους Αἰθίοψιν ὄντας παρέδωκας [л. 51[a]] αὐτοῖς εἰς κατάβρωμα, αὐτοὺς καὶ τὸν [1]) βασιλέα αὐτῶν ἡττήσας ἀπὸ προσώπου Αἰθιόπων, ὡς πηγὰς καὶ χειμάρρους ἀνεστόμωσας εἰς ἄφθονον τοῦ λαοῦ ποτόν, ὡς ἐξήρανας τὸ ἄλσος Ἠθάμ κατάρρυτον ὂν πάλαι, ἐν ᾧ τοῖς εἰδώλοις τεμένη κατεσκεύαστο· ὡς ἡμέραν καὶ νύκτα ἐδημιούργησας, ὡς ἔαρ ἔπλασας καὶ θέρος, ὡς πάντα τὰ ὡραῖα τῆς γῆς· πάντα γὰρ ὑπέκειτο τῇ ἀμηχάνῳ σου ἰσχύϊ. τούτων ἁπάντων ἀνακινήσας παρ' ἑαυτῷ τὴν ἐνέργειαν, μνήσθητι τῆς συναγωγῆς σου· καὶ σκῆπτρον ἤτοι ῥάβδον βασιλείας σου, ἣν πᾶσι τοῖς ἔθνεσι ἔδειξας ταῖς περὶ αὐτὴν ἀντιλήψεσί σου, μηδὲ τοῖς βλασφημοῦσι σε παραδῷς θηρίοις ψυχήν, εὐγνωμόνως τὰ εἰς αὐτὴν ὑπηργμένα σοι δι' εὐχαριστίας σοι ἀνυμνοῦσαν. ἐπίβλεψον δὲ καὶ εἰς τὴν διαθήκην σου, ἣν διέθου ἡμῖν, ἔθνος ἡμᾶς ἔσεσθαί σοι περιούσιον ἐπαγγειλάμενος. καὶ ἡ μὲν ἐπαγγελία σου αὕτη, ἀλλ' οὐχ ἡμῖν, πρὸς τοὺς ἐχθροὺς δὲ ἡμῶν περιτέτραπται· ἡμεῖς μὲν γὰρ πτωχεύομεν, οἱ τῷ φωτὶ τῶν θαυμάτων σου πάλαι λελαμπρυσμένοι, οἱ δὲ ἐσκοτισμένοι τοῖς γηΐνοις φροντίσμασι πεπλήρωνται οἴκων, ἀνομιῶν μέν, ἅτε ἀπὸ τῆς ἡμετέρας ἀπαγωγῆς καὶ πλεονεξίας, ὅμως εὐθηνοῦνται καὶ ἐν πλούτῳ διάγουσι τὴν παροῦσαν ζωήν. μὴ οὖν ἀποστραφῇς ἡμᾶς, ἀλλ' ἀναστὰς βοήθησον ἡμῖν. πρὸς μὲν οὖν ἱστορίαν οὕτως, [л. 51[a]] πρὸς δὲ διάνοιαν, ὡς ἂν τοῖς βουλομένοις φίλον ἐκλαμβανέσθω· οὐ γὰρ ἐστενοχώρηται τὰ τοῦ θείου πνεύματος πρὸς τὴν εὐσεβεστέραν ἔννοιαν ἐκλαμβάνεσθαι. — Ἄλλως: Ὁ δὲ θεὸς βασιλεύς· νῦν μέν φησι ἀνακόπτεις ἐξ ἡμῶν τῶν ἀγαθῶν τὴν φοράν, πάλαι δὲ ἡμεῖς βασιλέα σε καὶ δεσπότην ἐπιγεγράμμεθα. καὶ τοσαύτην ἡμῶν ἐποιήσω σωτηρίαν, ὡς μηδένα λαθεῖν τῶν ἐπὶ τῆς γῆς· τὸ γὰρ ἐν μέσῳ τῆς γῆς, ἀντὶ τοῦ ἐν φανερῷ καὶ παρρησίᾳ, ὥστε ἐξάκουστον γενέσθαι πᾶσι τὴν σωτηρίαν ἡμῶν. εἶτα καταλέγει τὰ τῆς σωτηρίας. εἴη δ' ἂν ἀληθὴς σωτηρία ἡ διὰ τῆς αὐτοῦ ἀναστάσεως ἐν Ἱερουσαλήμ, ἀφ' οὗ τινες καὶ ὀμφαλὸν εἶναι τῆς γῆς

Principium exegeseos

---

1) τῶν cod.

τὰ Ἱεροσόλυμα ἀπεφήναντο διὰ τὸ κληθῆναι μέσον τῆς γῆς. διαγράφει δ' οὖν ὅμως τὰ τῆς παλαιᾶς σωτηρίας: σύ φησιν ὁ τὴν θάλασσαν διατεμὼν καὶ τὸ ὕδωρ ἑκατέρωθεν ὡς τοίχους ὀχυρώσας, σὺ τοὺς Αἰγυπτίους (δράκοντας γὰρ τούτους διὰ τὸ τῆς γνώμης πονηρὸν τροπικῶς ὀνομάζει) ἐπὶ τοῦ ὕδατος καταποντίσας, αὐτούς τε καὶ τὸν τούτων ἄρχοντα Φαραώ, ὃν καὶ αὐτὸν δράκοντα καλεῖ. καὶ ἣν ἐφ' ἡμῶν ἐκραταίωσας θάλασσαν, ἐν ἐκείνοις διέλυσας. καὶ τοὺς καταλιπομένους εὐαλώτους ἐποίησας· ἐπελθόντες γὰρ Αἰθίοπες τῇ χώρᾳ αὐτῶν πᾶσαν ἀπώλεσαν. ἢ περὶ τῶν Ἰνδικῶν τοῦτο ὀρνίθων φησίν, οἳ ἐπελθόντες ἐκβρασθέντας αὐτοὺς κατέφαγον, [л. 52[a]] ἢ ὕδατος νοουμένου τῆς κακίας, ἢ τῶν ἀστάτων καὶ τεταραγμένων κυμάτων τοῦ βίου, δράκοντες εἶεν ἂν οἱ τοῦ αἰῶνος ἄρχοντες τούτου καὶ ὁ τούτων ὑπερέχων, οἳ ἐν τῷ τοιούτῳ ὕδατι βλαπτικῶς ἐνεργοῦσιν. εἶτα ἐφεξῆς λέγει θαύματα· πηγὰς μὲν καὶ χειμάρρους τὰς ἐν τῇ ἐρήμῳ λέγει ῥευσάσας, Ἠθὰμ δέ, ὅτι τόπος ἦν ἀλσώδης καὶ ὕδασι κατάρρυτος καὶ φυτοῖς κατάκομος, ἐν ᾧ Σολομὼν πρὸς θήραν ἐξῄει· οὗ καὶ τὴν ξηρασίαν ἐν τοῖς θαύμασι καταλέγει. οἱ δέ, ὅτι ὡς ἐπὶ ὑποδείγματος τέθειται, ὅτι εἰ δὲ καὶ ποταμοὺς ἐχρῆν διαβῆναι ἀβάτους, βατοὺς αὐτοὺς ἐποίεις ἡμῖν, ὡς ἐπὶ τοῦ Ἰορδάνου· Ἠθὰμ γάρ, λέγει, σημαίνει νότον, ἐκ νότου δὲ κεῖται ὁ Ἰορδάνης τῆς Ἱερουσαλήμ. σημαίνει καὶ αἷμα καὶ βάτον, ὅτι ἐκεῖ θυόντων ἐξηράνθη τὸ αἷμα καὶ ἡ ἀκανθώδης ὕλη τῆς εἰδωλολατρείας. ἀλλὰ τί θαυμαστόν φησι, εἰ τὰ ἐπὶ γῆς μετέβαλες, ὅτε αὐτὸς εἶ ὁ τὰς νύκτας καὶ τὰς ἡμέρας δημιουργήσας. . .

первая

— . . . [л. 57[b]] Καὶ χοίρου δὲ προτομὴν οἱ Ῥωμαίων βασιλεῖς τοῖς τῆς πύλης ἐνέκοψαν λίθοις. . . .

вторая псалтирь

Ἄλλως δὲ προτομὰς λέγει χοίρων ἐγκολάψαι τῇ πύλῃ τὸν Ἐπιφανῆ Ἀντίοχον ὑποκνίζοντα τοὺς Ἰουδαίους [1]).

74 Ψαλμ. — . . . [л. 58[b]] ⁂ Σὺ διέρρηξας ποταμοὺς καὶ χειμάρρους: — Ὁ δὲ Ἑβραῖος καὶ οἱ ἄλλοι ἑρμηνευταὶ πηγὴν εἰρήκασιν.

[[1]) Этого мѣста я не отыскалъ.]

первая	вторая псалтирь
Κἂν τε δὲ πηγὴν εἴπωμεν, κἂν τε πηγάς, οὐχ ἁμαρτησόμεθα τῆς ἀληθείας . . .	
[л. 59ᵇ] Ἑρμηνεία τοῦ οε´ ψαλμοῦ. Εἰς τὸ τέλος· ἐν ὕμνοις ψαλμὸς τῷ Ἀσάφ. ᾠδὴ πρὸς τὸν Ἀσσύριον: — Τὴν τοῦ Ἀσσυρίου προσθήκην οὐχ εὗρον ἐν τῷ Ἑξαπλῷ, ἀλλ' ἐν ἐνίοις ἀντιγράφοις. αὐτὴν μέντοι ἔχει τὴν ὑπόθεσιν ὁ ψαλμός· τὰ γὰρ κατὰ τὸν Σενναχηρεὶμ προθεσπίζει καὶ τὴν ἐπενεχθεῖσαν τῇ στρατιᾷ τιμωρίαν: —	75 Ψαλμ. — . . . [л. 56ᵇ] Ἡ τοῦ Ἀσσυρίου προσθήκη οὐκ ἔκειτο ἐν τῷ Ἑξαπλῷ, ἀλλ' ἐν ἀντιγράφοις· ὑπόθεσιν δὲ ἔχει ὁ ψαλμὸς τὰ κατὰ τὸν Σεναχηρεὶμ καὶ τὰ ἐπενεχθέντα αὐτοῦ τῇ στρατιᾷ . . .
. . . [л. 59ᵇ] ※ Φωτίζεις σὺ θαυμαστῶς ἀπὸ ὀρέων αἰωνίων: — Ὁ δὲ Σύμμαχος οὕτως· ὑπερφανὴς ὑπερμεγέθης ὑπὸ ὀρέων θήρας· ἐν γὰρ τοῖς ἡμετέροις ὄρεσι τῇ θήρᾳ τοῦ θανάτου τοὺς δυσμενεῖς παραδοὺς, ὑπερμεγέθης καὶ ἐπιφανὴς παρὰ πᾶσιν ἀνεδείχθης· φωτίζεις γὰρ τῷ θαύματι τοὺς ἀγνοοῦντας καὶ διδάσκεις, ὅστις ὑπάρχεις:	. . . [л. 57ᵇ] Ὁ δὲ Ἀκύλας· φωτισμὸς σὺ ὑπερμεγέθης ἀπὸ ὀρέων θήρας. ἀπὸ τῶν πλησίον ὀρῶν τῇ θήρᾳ τοῦ θανάτου φησὶ τοὺς δυσμενεῖς παραδοὺς, ὑπερμεγέθης καὶ ἐπιφανὴς πᾶσι δειχθήσῃ. ἢ ὄρη αἰώνια οἱ οὐρανοί· ἐκ γὰρ θείων ὑψωμάτων τῇ τῆς θεότητος αἴγλῃ τὰς τῶν ἀξίων φωτίζει ψυχάς· ἢ αἱ ἀγγελικαὶ δυνάμεις αἳ συνεργοῦσιν ἡμῖν πρὸς τὰ [л. 58ᵃ] κρείττονα . . .
76 Ψαλμ. — . . . [л. 60ᵇ] ※ Ταῖς χερσί μου νυκτὸς ἐναντίον αὐτοῦ καὶ οὐκ ἠπατήθην: — Ὁ δὲ Σύμμαχος οὕτως· ἡ χείρ μου νυκτὸς ἐκτέτατο διηνεκῶς. νύκτωρ ἡσυχίαν ἄγων τὰς χεῖ-	То же и здѣсь.

первая

ρας ἐξέτεινον τυχεῖν φιλανθρωπίας ἀντιβολῶν καὶ οὐ διήμαρτον τῆς ἐλπίδος· τοῦτο γὰρ σημαίνει τὸ οὐκ ἠπατήθην . . .

☩ Ἠδολέσχησα καὶ ὠλιγοψύχησε τὸ πνεῦμα μου: — Ὁ δὲ Σύμμαχος οὕτως· διελάλουν ἐμαυτῷ καὶ ἐλιποθύμουν. . .

Похоже.

Это-

вторая псалтирь

Ὁ δὲ Ἀκύλας· ἀνένευσε, τουτέστι παρηγορεῖσθαι ἀπηρνήσατο ἡ ψυχή μου, καὶ ἀνθρώποις μὲν παρακαλοῦσιν οὐκ ἐπειθόμην [1]).

[л. 64ᵇ] Φωνὴ τῆς βροντῆς σου ἐν τῷ τροχῷ.... οὐ γνωσθήσονται. — Ὁ Σύμμαχος, ἐν τοῖς τροχοῖς. βροντὴν γάρ φησι ἐπαφεὶς μεγίστην, συνεπόδισας τοὺς τροχοὺς τῶν ἁρμάτων τῶν Αἰγυπτίων, ἵνα μὴ προβαίνειν ἔχωσιν, ἀλλ' ἅμα πάντες καταποντισθεῖεν· κατεσχέθησαν γὰρ ἕως ἐπεκλύσθησαν. ἀστραπὰς δὲ ἐνταῦθα τὰς ἀπειλάς, τὰς καταπλήξεις, ἃς τοῖς Αἰγυπτίοις ἐπήγαγε . . .

. . . [л. 65ᵃ] Ἄλλως. Τῆς θαυματουργίας φησὶ τὸ φῶς δίκην ἀστραπῆς τὴν οἰκουμένην διέδραμε· τροχὸς γὰρ ὁ κόσμος, σφαιροειδὴς ὢν καὶ κυκλοφορικῶς κινούμενος, οὗ ἐντὸς ἄλλος τροχός, ὁ τῶν ἀνθρώπων βίος. — Ἄλλως δέ. Τὸν τροχὸν

[[1]) Этого отрывка я не отыскалъ.]

первая

го

нѣтъ

здѣсь.

[л. 62ᵃ] Ἑρμηνεία τοῦ οζ′ ψαλμοῦ συνέσεως τῷ Ἀσάφ:— ☆ Τὸν παλαιὸν δεδωκὼς νόμον ὁ τῶν ὅλων θεὸς τοῖς υἱοῖς Ἰσραὴλ προσέταξε τοῦτον διηνεκῶς καὶ αὐτοὺς ἐκπαιδεύεσθαι καὶ τὰ τέκνα διδάσκειν· καὶ μὲν δὴ καὶ τῶν ἑορτῶν τὰς αἰτίας τοῖς ἐκγόνοις ὑποδεικνύναι, ὡς ἂν τὰς θείας εὐεργεσίας μανθάνοντες εὐγνώμονες γένοιντο περὶ τὸν τὰ

вторая псалтирь

κύκλον ἡμῖν αἰθέριον ὑποβάλλει νοεῖν φησί, καθ' ὃν τὰ ἄστρα περιδινεῖται, ὡς βόες περιελίττοντο ἅλωνα· σφαιροειδῆ γὰρ οὐρανόν, κατὰ τὸν θεῖον λόγον, οὐκ ἔστιν ἐν τοῖς θείοις λόγοις εὑρεῖν, ἵν' ὑπὲρ γῆν τε καὶ ὑπὸ γῆν τὴν τροχοειδῆ φορὰν ἐννοήσωμεν. ὕδωρ γὰρ ὑπὸ γῆν, οὐχ οὐρανὸν παριστῶσιν αἱ γραφαί. καὶ ὑπὲρ οὐρανὸν ὕδατα στέγους δίκην δέρρεως ἐκτεταμένον [л. 65ᵇ] τρόπον· καὶ ὁ στήσας γὰρ τὸν οὐρανόν, οὐχ ὁ περιαγαγὼν κύκλῳ· καὶ διατείνας ὡς σκηνὴν οὐχ ὡς κύκλον περιελίξας . . . Φωνὴ βροντῆς ἐν τροχῷ. καὶ ἡ τῶν υἱῶν τῆς βροντῆς διδαχὴ ἐν τῷ κόσμῳ, ὅς ἐστι τροχός· τροχὸς δὲ καὶ ὁ αἰών, βροντὴ καὶ ὁ εὐαγγελικὸς λόγος ὁ κατακτυπήσας τὴν ὑπουράνιον.

[л. 66ᵃ] οζ′. Συνέσεως τῷ Ἀσάφ: Νόμος ἦν ἀρχαῖος τὰς τοῦ θεοῦ μὴ κρύπτειν εὐεργεσίας, ἀλλὰ διηγεῖσθαι τοὺς καθ' ἕκαστον τοῖς μετ' αὐτούς, ὥστε διαβαίνειν εἰς γενεὰς τῶν ὑπαρξάντων ἀγαθῶν τὰς μνήμας καὶ ἐκ τούτου εἰς ἔλεον ἐφέλκεσθαι τὸν θεόν, ὡς εὐγνώμονες περὶ τὰ ὑπάρξαντα ἀγαθά. τούτῳ τῷ νόμῳ ἑπόμενος καὶ ὁ Δαβὶδ

первая	вторая псалтирь
τοιαῦτα κεχαρισμένον· διδάξεις. γὰρ αὐτά, φησί, τοὺς υἱούς σου . . .	νουθετεῖ τοὺς μετ' αὐτὸν οὕτω ποιεῖν καὶ καταλέγει τὰς θείας εὐεργεσίας καὶ τὸ τῶν δεξαμένων ταύτας ἀχάριστον. συνέσεως δὲ ἐπέγραψε παρορμῶν ἡμᾶς ἐπὶ τὴν σύνεσιν τῶν ἐπιφερομένων . . . .
Это не похоже. Не сличено.	. . . [л. 68ᵇ] ἀντὶ δὲ τοῦ διέρρηξε πέτραν ὁ Ἀκύλας διέρρηξε πέτρους εἶπεν, δουλεύσας τῇ Ἑβραϊκῇ γραφῇ, δι' ἧς παρίσταται οὐ μίαν εἶναι, ἀλλὰ πολλάς. τὸ πλῆθος δὲ τῶν ὑδάτων δηλῶν ἄβυσσον ὠνόμασε . . .
	. . . [л. 70ᵇ] Καὶ ὀργὴ τοῦ θεοῦ ἀνέβη ἐπ' αὐτούς . . . Ὀργὴν θεοῦ καλεῖ νῦν τὴν ἀπὸ τῆς γαστριμαργίας καὶ χολέρας φθορὰν τῶν Ἰσραϊλιτῶν.
	NB. — Ἰστέον ὡς Ἑβραῖοι κυνομυίαν θηρία φασὶ διάφορα καὶ ἀναμεμιγμένα. ἐρυσίβη δὲ κυρίως ἡ κονιορτώδης φθορὰ τοῦ σίτου [1]).
Это сходно слово въ слово.	[л. 78ᵃ] οη'. Ψαλμὸς τῷ Ἀσάφ. Ἀντιόχου τοῦ ἐπίκλην Ἐπιφανοῦς τὴν κατὰ τοῦ λαοῦ τῶν Ἰουδαίων μανίαν ὁ προφητικὸς προθεσπίζει λόγος, τὴν δὲ χρησμολογίαν εἰς

[1]) Этого примѣчанія (подъ знакомъ NB) я не отыскалъ.]

первая	вторая псалтирь
	εὐχὴν σχηματίζει, ὡς ὑπὸ τῶν εὐσεβῶν τηνικαῦτα προσφερομένην... Ὁ θεός, ἤλθοσαν ἔθνη εἰς τὴν κληρονομίαν σου....
Ληνοὶ и здѣсь ἐκκλησίαι.	[л. 85[a]] π'. Εἰς τέλος ὑπὲρ τῶν ληνῶν τῷ Ἀσὰφ ψαλμός. Οἱ μὲν ἐπιγράψαντες ὑπὲρ τῶν ληνῶν ἐοίκασιν ἐπιγράψαι, ὅτι ὑπὲρ τῆς συγκομιδῆς τοῦ οἰνικοῦ καρποῦ εἴρηται, μικροπρεπῆ τὴν ἐπιγραφὴν ποιούμενοι καὶ Ἰουδαϊκὴν τῷ ὄντι· ἐλέγχει γὰρ αὐτοὺς ἡ ὑπόθεσις, ὅτι περὶ μειζόνων πραγμάτων εἴρηται· τὴν γὰρ ἀπὸ Βαβυλῶνος τοῦ λαοῦ ἐπάνοδον εὐαγγελίζεται..... δύναται καὶ τὴν κλῆσιν τῶν ἐθνῶν ὑποσημαίνειν, ὧν ὁ καρπὸς [л. 85[b]] ὡς ἐν ληνοῖς ταῖς ἁγίαις ἐκκλησίαις προσφέρεται...
	Ἄκουσον λαός μου· καὶ διαμαρτυρήσομαί σοι.... ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν.—Ὅτε φησὶ πρὸ πάντων τοῦτό σοι προσέταξα ἑτέρῳ θεῷ μὴ λατρεῦσαι (πρόσφατος δὲ θεὸς ὁ μηδὲν οὐσιῶσαι δυνάμενος), ἀλλὰ καίτοι μὴ εὑρεῖν δυνάμενος, τὴν κακόνοιαν ἐπεδείκνυσο. τοῦτο δὲ καὶ τὴν Ἀρείου καὶ Εὐνομίου παραπληξίαν ἐλέγ-

первая

82 Ψαλμ. —

Та же мысль, но выражена другими словами, не похожими на эти.

[л. 74a] ⁜ Ἐπὶ τὸν λαόν σου κατεπανουργεύσαντο γνώμην καὶ ἐβουλεύσαντο κατὰ τῶν ἁγίων σου: —Ὁ δὲ Σύμμαχος οὕτως· ἀντὶ τῶν ἁγίων σου κατὰ τοῦ ἀποκρύφου σου. ὁ δὲ Ἀκύλας· κατὰ τοῦ συγκεκριμένου σου. οὕτω καὶ ὁ Θεοδοτίων. ἐπειδὴ γὰρ ἐξ αὐτῶν ἔμελλε κατὰ σάρκα βλαστήσειν ὁ δεσπότης Χριστός . . .

[л. 74b—75a] ⁜ Ἀλλόφυλοι μετὰ τῶν κατοικούντων Τύρον: — Ἀλλοφύλους

вторая псалтирь

χει· εἰ γὰρ οὐχ ὁμοούσιος ὁ μονογενής, ἀλλότριος ἄρα, καὶ εἰ ἦν ὅτε οὐκ ἦν, πρόσφατος καὶ οὐκ ἀΐδιος. τὸ δὲ πλάτυνον τὸ στόμα σου ἀντὶ τοῦ ὅτε σοὶ καὶ τοῦτο προσέταξα, ὅτι ὅσα θέλεις, αἴτησαι καὶ παρέξω σοι.

[л. 90b] πβ'. Ψαλμὸς τῷ Ἀσάφ. Ἐπινίκιός ἐστιν ὁ ψαλμὸς κατ' ἐφόδου πολεμίων πολλῶν συμμαχησάντων ἀλλήλοις κατὰ Ἰσραηλιτῶν . . . Ὁ Δαβὶδ προαγορεύει τοῦτον ὡς ἐκ προσώπου τῶν Ἰσραηλιτῶν. ἀμφιβάλλεται δὲ ὁ χρόνος· οἱ μὲν γὰρ ἐπὶ τῶν Μακκαβαίων, οἱ δὲ μετὰ τὴν ἐπάνοδον τοῦτο λέγουσι γενέσθαι. (Все).

Не

сли-

чено.

—. . . [л. 92a] Ἀλλόφυλοι

первая

Φιλιστιαίους οἱ ἄλλοι καλοῦσιν ἑρμηνευταί, οὓς ἡμεῖς ὀνομάζομεν Παλαιστηνούς· οὗτοι γὰρ μόνοι καταλειφθέντες ἐκ τοῦ γένους τοῦ Χαναὰν καὶ παρὰ τὸν Ἰσραὴλ οἰκοῦντες εἰκότως ἀλλόφυλοι διαφερόντως ἐκλήθησαν. — ⁜ Καὶ γὰρ καὶ Ἀσοὺρ συμπαρεγένετο μετ' αὐτῶν: — [л. 75[a]] Ἀσύριοι κατ' ἐκεῖνον οὐκ ἐβασίλευον τὸν καιρόν. αἰνίττεται τοίνυν ὁ λόγος τοὺς Σαμαρείτας, ἀποίκους Ἀσυρίων ὄντας, μετὰ τὴν αἰχμαλωσίαν τῶν δέκα φυλῶν ἐν ταῖς ἐκείνων οἰκήσαντας πόλεσιν:—

83 Ψαλμ. — . . . [л. 76[a]] ⁜ Καὶ γὰρ στρουθίον εὗρεν ἑαυτῷ οἰκίαν, καὶ τρυγὼν νοσσιὰν ἑαυτῇ, οὗ θήσει τὰ νοσσιὰ ἑαυτῆς.— Ὁ δὲ Ἀκύλας οὕτως· καί γε ὄρνεον εὗρεν ἑαυτῷ οἶκον, καὶ στρουθία νοσσιὰν ἑαυτῶν, οὗ ἔθεντο νεοσσοὺς αὐτῶν . . . .

Весь этотъ псаломъ утраченъ. Выпалъ изъ рукописи.

вторая псалтирь

δὲ οἱ Φιλισταῖοι, οὓς νῦν Παλαιστηνούς φαμεν. Ἀσσοὺρ δὲ οἱ Σαμαρεῖται· οὐ γὰρ ἐβασίλευον τότε οἱ Ἀσσύριοι . . .

Не сличенно.

[л. 101[b]] πς'. Τοῖς υἱοῖς Κορὲ ψαλμὸς ᾠδῆς.

Οἱ θεμέλιοι αὐτοῦ ἐν τοῖς ὄρεσι τοῖς ἁγίοις. ἀγαπᾷ Κύριος τὰς πύλας Σιὼν ὑπὲρ πάντα τὰ σκηνώματα Ἰακὼβ. . . . Ἡγοῦμαι καλῶς μὴ προσκεῖσθαι

первая

88 Ψαλμ.—. . . [л. 79ᵇ] ※ Ὅτι τίς ἐν νεφέλαις ἰσωθήσεται τῷ Κυρίῳ; ἢ τίς ὁμοιωθήσεται τῷ Κυρίῳ ἐν υἱοῖς θεοῦ;—Ὁ δὲ Σύμμαχος οὕτως· τίς γὰρ ἐν αἰθέρι ἀντιπαραθήσει τῷ Κυρίῳ, ἐξισάσει τῷ Κυρίῳ ἐν υἱοῖς θεῶν; υἱοὺς δὲ καλεῖ τοῦ θεοῦ τοὺς υἱούς, ὡς υἱοὺς ἀνθρώπων τοὺς ἀνθρώπους . . . .

Не

сличено.

То же.

вторая псалтирь

τὸ τίνος οἱ θεμέλιοι, ἀλλ' αὐτοῦ, ἵν' ἐπιζητήσαντες εὕρωμεν ἐν τοῖς ἐφεξῆς τὸν λεγόμενον τεθεμελιωκέναι τὴν Σιὼν ἄνδρα, ὃς καὶ ἐγεννήθη ἐν αὐτῇ καὶ ἐθεμελίωσεν αὐτήν· τοὺς γὰρ θεμελίους τῆς πόλεως θεμελίους θεοῦ καλεῖ . . .

. . . [л. 102ᵇ] Ἄλλως: Ἀγαπᾷ Κύριος τὰς πύλας Σιών: Ἐν τῷ Ἑξαπλῷ οἱ ο' οὕτως· ἀγαπᾷ Κύριος τὰς πύλας Σιὼν ἐκ πασῶν τῶν κατασκηνώσεων Ἰακώβ . . .

Здѣсь нѣтъ сего.

89 Ψαλμ.—. . . [л. 115ᵇ] Τινὲς τῶν συγγραφέων τὸν μέγαν ἔφασαν Μωυσῆν τήνδε ποιῆσαι τὴν προσευχήν, τινὲς δὲ τὸν Δαβὶδ προσαρμόσαι ταύτην ἐκείνῳ . . . .

— [л. 119ᵃ] ϛ'. Ἀνεπίγραφος παρ' Ἑβραίοις. ὡς δὲ ἕτεροι, αἶνος ᾠδῆς τῷ

первая	вторая псалтирь
Этого нѣтъ здѣсь.	Δαβίδ: Ἀνεπίγραφος μὲν παρ' Ἑβραίοις, ὡς μὴ παραδεχομένοις τὴν δηλωτικὴν τῆς τοῦ Χριστοῦ θεοφανείας ἐπιγραφήν. ἡμῖν δὲ αἶνος ἐστὶν ᾠδῆς· πᾶς γὰρ αἶνος εἰς θεὸν τὴν ἀναφορὰν ἔχει. οἱ δὲ Ἑβραῖοι σιγῶσι τὸν αἶνον καὶ τοῖς αἰνοῦσι σιγᾶν ἐγκελεύονται, κωλύειν γοῦν ἐπιχειροῦσιν ἐν τῷ ἱερῷ τοὺς παῖδας αἰνεῖν ἐπὶ ταῖς θαυματουργίαις τὸν Κύριον.
То же.	διδάσκει δὲ τῆς εἰς θεὸν ἐλπίδος τὸ ἄμαχον.
91 Ψαμ.—. . . [л. 86^b] ※ Καὶ τὸ γῆρας μου ἐν ἐλαίῳ πίονι: — Ὁ δὲ Σύμμαχος οὕτως· ἡ παλαίωσίς μου, ὡς ἐλαία εὐθαλής· ἀνθήσω γὰρ καὶ τὸ γῆρας ἀποθήσομαι καὶ ἐλαίαν τεθηλυῖαν μιμήσομαι. καὶ κατὰ τοὺς ο' οἷόν τινι ἐλαίῳ πιανθήσομαι τῇ θυμηδίᾳ:—	Не сличено.
※ Καὶ ἐπεῖδεν ὁ ὀφθαλμός μου ἐν τοῖς ἐχθροῖς μου καὶ ἐν τοῖς ἐπανισταμένοις ἐπ' ἐμὲ πορευομένοις ἀκούσεται τὸ οὖς μου: — Τὸ ἐπεῖδε καὶ ὁ Σύμμαχος καὶ ὁ Θεοδοτίων, καὶ αὐτὸς ὁ Ἑβραῖος ἐπόψεται εἴρηκεν· μελλόντων γὰρ πρόρρησις τὰ λεγόμενα. ἀλλὰ συνήθως οἱ ο' τὰ γε-	Не сли-

первая

γενημένα ὡς ἐσόμενα ἡρμήνευσαν, τὸ ἀναντίρρητον τῆς προρρήσεως καὶ ἐν τούτῳ δηλοῦντες· ὥσπερ γὰρ ἀδύνατον τὰ γεγενημένα μὴ γεγενῆσθαι, οὕτως ἀδύνατον τὴν τοῦ πνεύματος πρόρρησιν ἀπέραντον διαμεῖναι...

[л. 87b] ⁂ Καὶ ἐχόμενοι αὐτὴν πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ: — Ὁ δὲ Ἀκύλας καὶ ὁ Θεοδοτίων· ὀπίσω αὐτοῦ πάντες οἱ εὐθεῖς τῇ καρδίᾳ. τοῦτο γάρ φησι τὸ σωτήριον δικαιοσύνην ἐκάλεσεν. ἀκολουθήσουσιν οἱ καθαρὰν ἀπιστίας διάνοιαν ἔχοντες, καὶ εὐθέσι χρώμενοι λογισμοῖς....

94 Ψαλμ. . . [л. 88b] Ἐσχη-

вторая псалтирь

че-

що.

[л. 126b] ϟγ΄. Ψαλμὸς τῷ Δαβὶδ τετράδι σαββάτων. Τινὲς καὶ τοῦτον κατὰ Βαβυλωνίων εἰρῆσθαι ἔφασαν. ὡς ἐφηδομένου τοῦ θείου λαοῦ. οἷς ἐπαναστάντες αὐτοῖς οἱ Μῆδοι τῶν εἰς τὸν λαὸν πεπραγμένων αὐτοῖς, πλέον ἢ ἔδει ἐτιμωρήσαντο. ἄλλοι δὲ ἐκ προσώπου τῶν εὐσεβείᾳ συντεθραμμένων κατὰ τῶν πονηρίᾳ συζώντων, ἐφ’ οἷς ὑπ’ αὐτῶν ἔπασχον, ἀπεμπολούντων τὸ δίκαιον, κονδυλιζόντων πένητας .... εἰσάγει οὖν περὶ προνοίας λόγον ἐν τούτῳ ὁ θεῖος Δαβὶδ ...

*

первая

μάτισται ὁ ψαλμὸς ἐκ προσώπου τοῦ Ἰωσίου καὶ τῶν τούτου ἱερέων: —

[л. 89b—90a] Ἑρμηνεία τοῦ ϟε' ψαλμοῦ, ὅτε ὁ οἶκος ᾠκοδομεῖτο μετὰ τὴν αἰχμαλωσίαν. ἀνεπίγραφος παρ' Ἑβραίοις:— Οὐδὲ ταύτην ὁ μακάριος Δαβὶδ ἔγραψε τὴν ἐπιγραφήν, οὔτε μὴν οἱ ἐξ ἀρχῆς τὴν προφητείαν ἡρμηνευκότες. ἄλλος δέ τις ὡς ἔοικε τὴν ἐπιστολῆς διάνοιαν τοῦ ψαλμοῦ κατιδών, ταύτην τέθεικε τὴν ἐπιγραφήν. ἁρμόττει δὲ καὶ τοῖς ἐκ Βαβυλῶνος ἐπανελθοῦσι καὶ τὸν θεῖον δειμαμένοις νεὼν ἡ τοῦ γράμματος ἐπιφάνεια, ἐπειδήπερ ἐν αὐτοῖς ἐσκιαγραφήθη πάντων ἀνθρώπων ἡ σωτηρία. προθεσπίζει δὲ ὅμως ἡ προφητεία καὶ τὴν προτέραν καὶ τὴν δευτέραν [л. 90a] τοῦ θεοῦ καὶ σωτῆρος ἡμῶν ἐπιφάνειαν καὶ τὴν ἐσομένην κρίσιν . . . .

[л. 90b] ※ Σαλευθήτω ἡ θάλασσα καὶ τὸ πλήρωμα αὐτῆς: — Ὁ Θεοδοτίων καὶ ὁ Σύμμαχος οὕτως· ἠχήσοι ἡ θάλασσα συμ-

вторая псалтирь

— . . . [л. 131a] Οὔτε ὁ Δαβίδ, οὔτε τις τῶν ἑρμηνευτῶν τὴν ἐπιγραφὴν ταύτην τέθεικεν, ἀλλ' ἕτερός τις τὴν διάνοιαν τοῦ ψαλμοῦ κατιδών. ἁρμόζει δὲ καὶ τοῖς ἐκ Βαβυλῶνος ἐπανελθοῦσιν, ὅτε τὸν ναὸν ᾠκοδόμησαν καὶ τὰ ἐγκαίνια ἐπετέλεσαν. ἁρμόζει δὲ καὶ τῇ τῶν ἐθνῶν κλήσει, ὅτε ἡ κατὰ Χριστὸν ἐκκλησία τεθεμελίωτο. ὅθεν τοῖς μὲν Ἑβραΐζουσιν ἀνεπίγραφος λέγεται, ἡμῖν δὲ ᾠδή ἐστι, μετὰ τὴν ἐπάνοδον τῆς αἰχμαλωσίας τῆς φύσεως τῷ θεῷ ᾀσθεῖσα, ὅτε ἀνῳκοδομήθη διαλυθεῖσα ἡ τῆς φύσεως ἡμῶν κατασκευὴ διὰ τῆς ἀναστάσεως· εὐθὺς γὰρ τὸ τῆς καινῆς Διαθήκης μυστήριον ἡ ψαλμῳδία ἐν προοιμίοις εὐαγγελίζεται λέγουσα· ᾄσατε τῷ Κυρίῳ ᾆσμα καινὸν καὶ ἐνέγκατε αἱ πατριαὶ τῶν ἐθνῶν. διὸ παρ' Ἑβραίοις σεσίγηται.

первая

πληρώματι αὐτῆς . . .

[л. 95ᵃ] Ἑρμηνεία τοῦ ρ' ψαλμοῦ. Τῷ Δαβὶδ ψαλμός. Ἔνια τῶν ἀντιγράφων ἔχει τετράδι σαββάτων. οὔτε δὲ παρὰ τῷ Ἑβραίῳ, οὔτε παρὰ τοῖς ἄλλοις ἑρμηνευταῖς, οὔτε παρὰ τοῖς ο' ταύτην εὑρήκαμεν τὴν προσθήκην . . .

103 Ψαλμ. . . . [л. 103ᵃ] ⁜ Δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῷ: — Διὰ τοῦ δράκοντος τὰ μεγάλα παρεδήλωσε κήτη, ἃ τοῖς μεγάλοις πελάγεσι ἐμφιλοχωρεῖ. τὸ δὲ ἐμπαίζειν αὐτῷ, ἀντὶ τοῦ αὐτῇ τῇ θαλάσσῃ· ἀρρενικῶς γὰρ αὐτὴν ὁ Ἑβραῖος καὶ ὁ Σύρος καλεῖ. οὕτως φησὶ ἐστὶν μεγάλη, ὅτι καὶ τὰ μυρία τῶν ἰχθύων περίκειται γένη, καὶ τὰ μέγιστα κήτη ἀδεῶς ἐν αὐτῇ νήχεται . . .

Не

сли-

чено.

106 Ψαλμ. . . . [л. 115ᵃ] ⁜ Καὶ ἐπλάνησεν αὐτοὺς

вторая псалтирь

— . . . [л. 140ᵇ] Διάφορος ἡ περὶ τοῦ ψαλμοῦ δόξα· ὁ μὲν γὰρ ἐκ τοῦ ἐν Βαβυλῶνι λελέχθαι τοῦτον εἶπεν λαοῦ· δεομένου τυχεῖν ἐπανόδου . . . ὁ δὲ τὴν τοῦ ὁσίου ἀρετήν. . . ἄλλος δέ τις τὸν περὶ προνοίας καὶ κρίσεως ᾄδειν λόγον φησίν.

Не

сли-

чено.

104 Ψαλμ. . . . [л. 158ᵃ] Πρῶτος ὁ παρὼν ψαλμὸς τυγχάνει τῶν ἐπιγραφομένων τὸ ἀλληλούϊα. ὅπερ ἐστὶ παρακέλευσις μυστική, πρὸς τὴν τοῦ θεοῦ ὑμνῳδίαν τὴν ἀκοὴν διεγείρουσα. σημαίνει δὲ αἶνος θεοῦ . . .

первая

ἐν ἀβάτῳ καὶ οὐχ ὁδῷ:—Ὁ δὲ Σύμμαχος οὕτως· καὶ πλανήσει αὐτοὺς ἐν ματαιότητι διανοίας. ὁ θεὸς οὐκ ἐπάγει πλάνην, ἀλλ' ἀπαγορεύει τὴν πλάνην, τοὺς δὲ μὴ πειθομένους ἀκυβερνήτους ἐᾷ...

108 Ψαλμ. . . . [л. 117[a]] ※ Ἐξερευνησάτω δανειστὴς πάντα ὅσα ὑπάρχει αὐτῷ: — Ὁ δὲ Σύμμαχος οὕτως· συγκρούσαι πράκτωρ πάντα τὰ ὑπάρχοντα αὐτῷ. πράκτορες δὲ καὶ οἱ Ῥωμαίων βασιλεῖς τὸν ἐπικείμενον εἰσπραττόμενοι φόρον. οὗτοι δὲ τὰ Ἰουδαίων διήρπασαν ἅπαντα ἀκριβῶς ἐρευνήσαντες . . .

[л. 125[a]] Ἑρμηνεία τοῦ ριε' ψαλμοῦ. Ἀλληλούϊα·: Ὁ Ἑβραῖος καὶ οἱ λοιποὶ ἑρμηνευταὶ καὶ μέντοι καὶ ὁ Σύρος τοῦτον τοῖς προτεταγμένοις συνάπτουσι· καὶ γὰρ τῆς αὐτῆς ἔχεται διανοίας. καὶ τὸν ἔνατον διχῇ διελόντες τῇ τῶνδε τῶν ψαλμῶν συναφείᾳ τὸν ἴσον τῶν ψαλμῶν φυλάττουσι ἀριθμόν. τὴν αὐτὴν δὲ ὅμως ὑπόθεσιν ἔχει· οἱ γάρτοι τῶν ζώντων ἐκεῖ μνημονεύσαντες καὶ τοῦτο τεθεικότε, ἀκροτελεύτιον, ἐνταῦθα ἀρχόμενοι λέγουσιν: —

вторая псалтирь

— . . . [л. 194[a]] Ἀλληλούϊα.—Ἐκ προσώπου Ἐζεκίου ἐστίν, εὐχαριστοῦντος ἐπὶ τῇ ἀναιρέσει τῶν πολεμίων καὶ ἐπιτιμῶντος ἑαυτῷ, ἐφ' οἷς μεγάλα μετὰ νίκην ἐφρόνησε, καὶ διὰ τοῦτο ἠρρώστησε, καὶ διὰ τοῦτο δεηθεὶς ἀπηλλάγη τῆς ἀρρωστίας. τινὲς δὲ τοῦτον τῷ πρὸ τούτου συνάπτουσι τῷ ἀκροτελευτίῳ ἐκείνου, καὶ ταῦτα ἐφαρμόζοντες ἐπίστευσα, διὸ ἐλάλησα.

. . . [л. 195[a]] Ἄλλως. Προηγεῖται τοῦ ἀληθῶς λαλεῖν

первая

Ἐπίστευσα διὸ ἐλάλησα: — Οὐ γὰρ τοῖς τοῦ σώματος ὀφθαλμοῖς ἐκείνην ἐθεασάμην τὴν χώραν, ἀλλὰ κατάδηλόν μοι ταύτην ἡ πίστις πεποίηκεν. ⁜ Ἐγὼ δὲ ἐταπεινώθην σφόδρα. ἐγὼ δὲ εἶπα ἐν τῇ ἐκστάσει μου· πᾶς ἄνθρωπος ψευστής:— Ὁ δὲ Ἀκύλας οὕτως· ἐγὼ εἶπα ἐν τῷ θαμβεῖσθαι· πᾶς ἄνθρωπος διάψευσμα. ὁ δὲ Θεοδοτίων· πᾶς ἄνθρωπος ἐκλείπει. ὁ δὲ Σύμμαχος· καὶ εἶπον ἀδημονῶν· πᾶς ἄνθρωπος διαψεύδεται. οὐχ ἁπλῶς δὲ πάσας τέθεικα τὰς ἑρμηνείας, ἀλλὰ δεῖξαι βουλόμενος, ὡς τὴν ἀνθρωπίνην εὐημερίαν ψεῦδος καλεῖ, διαρρέουσαν ὅτι τάχιστα καὶ διαρκὲς οὐδὲν ἔχουσαν· τὴν γὰρ ἀθρόαν ταύτην μεταβολὴν θεασάμενος, καὶ τῆς προτέρας ἡμῶν ἀναμνησθεὶς εὐημερίας, καὶ τὰς ἐπαλλήλους ὁρῶν συμφορὰς εἶπον ἀδημονῶν· μόνιμον οὐδὲν οὐδὲ σταθερόν, ἀλλὰ διαψεύδεται . . .

116 Ψαλμ.—(подразум. Ἀπόστολοι) [л. 126ª] πᾶσαν γῆν καὶ θάλασσαν ἔδραμον· καὶ οἱ μὲν

вторая псалтирь

ἡ κατὰ θεὸν πίστις. οἱ γὰρ μὴ οὕτως λέγειν ἀρξάμενοι, ψεῦσται πιστεύσας οὖν φησι πρότερον, εἶτα λαλήσας καὶ κατανοήσας τὴν ἀληθῆ σοφίαν καὶ θαυμάσας, ὅπως ἡ βραχεῖα ἀνθρώπων φύσις τοσαύτης ἠξιώθη τιμῆς. ἐταπεινώθην τε καὶ ἐξέστην, καὶ τοῦτο ἀπεφηνάμην, ὡς πᾶσα ἡ κατὰ τὴν κοσμικὴν σοφίαν δοκοῦσα ἀλήθεια ψευδής ἐστιν. οὐ γάρ ἐστιν ἄνθρωπον ἀληθεύειν ἐκτὸς τῆς κατὰ θεὸν πίστεως. Ἄλλως. Ὅτε πιστεύσας ὑπερφυῆ ἐλάλησα καὶ μεγάλα, τότε τῷ μηδὲν ἐμαυτὸν ἰδεῖν ἐταπεινώθην. πᾶς δὲ ἄνθρωπος ψεύστης, ἐπεὶ κενὸν καὶ διάψευσμα ὁ ἄνθρωπος ἐν τῷ εἶναί τε καὶ μὴ εἶναι, ὅτι καὶ εἶναι δοκῶν οὐκ ἔστιν, ἀλλ' ἐν εἰκόνι ζωῆς μᾶλλον, ἢ ἐν ἀληθείᾳ στρέφεται. Ὁ δὲ Ἀκύλας· ἐγὼ εἶπα ἐν τῷ θαμβεῖσθαι· πᾶς ἄνθρωπος [л. 195ª] διάψευσμα. ὁ δὲ Θεοδοτίων· πᾶς ἄνθρωπος ἐκλείπει. ὁ Σύμμαχος· καὶ εἶπον ἀδημονῶν· πᾶς ἄνθρωπος διαψεύδεται. . . .

первая

Ἰνδούς, οἱ δὲ Αἰγυπτίους, οἱ δὲ Αἰθίοπας προσήγαγον τῷ θεῷ. ὁ δὲ μακάριος Παῦλος [л. 126^{b}] διδάσκει συντόμως . . . ἀπὸ Ἱερουσαλὴμ κύκλῳ μέχρι τοῦ Ἰλλυρικοῦ πεπληρωκέναι τὸ εὐαγγέλιον τοῦ Χριστοῦ . . . Ἰωάννης ὁ πάνυ τὴν Ἀσίαν τῆς προτέρας ἠλευθέρωσεν ἀσεβείας· οὕτως ὁ θεσπέσιος Ἀνδρέας τὴν Ἑλλάδα ταῖς τῆς θεογνωσίας ἀκτῖσι κατηύγασεν. οὕτως ὁ θειότατος Φίλιππος Φρυγῶν ἑκατέρων τὴν πλάνην διήλεγξεν. οὕτως ὁ μέγας Πέτρος ἀπὸ τῆς Ἱερουσαλὴμ μέχρι τῆς Ῥωμαίων ἔδραμε πόλεως, ἅπασι προσφέρων τὰς τῆς ἀληθείας ἀκτῖνας . . .

118 Ψαλμ. . . . [л. 131^{b}] ※ Ἐνύσταξεν ἡ ψυχή μου ἀπὸ ἀκηδίας. βεβαίωσόν με ἐν τοῖς λόγοις σου: — Ἡ συνεχὴς προσβολὴ τῆς ἁμαρτίας διαλύει πολλάκις τὸν λογισμόν, καὶ ἀπαυδῆσαι παρασκευάζει τὸν ἀθλητήν, καὶ τὴν καλουμένην ἀκηδίαν ἐργάζεται. χαυνουμένη δὲ ἡ ψυχὴ τὸν ὕπνον εἰσδέχεται. ὁ δὲ ὕπνος ἐπάγει τὸν θάνατον . . .

. . . (л. 134^{a}] ※ Διελογισάμην τὰς ὁδούς σου,

вторая псалтирь

Не-

сли-

че-

но.

первая	вторая псалтирь
καὶ ἐπέτρεψα τοὺς πόδας μου εἰς τὰ μαρτύριά σου:—Ὁ Ἑβραῖος δὲ τὰς ὁδούς μου ἔχει· ὡσαύτως δὲ καὶ οἱ ἄλλοι ἑρμήνευσαν ἑρμηνευταί, καὶ οἱ ο΄ ἐν τῷ Ἑξαπλῷ [1])...	
... [л. 134b] ⁜ Μέτοχος ἐγὼ εἰμὶ πάντων τῶν φοβουμένων σε, καὶ τῶν φυλασσόντων τὰς ἐντολάς σου [2]):—Ὁ δὲ Σύμμαχος ἀντὶ τοῦ, μέτοχος, συνημμένος, εἴρηκεν. Ὁ δὲ Σύρος φίλος...	То же.
...[л. 141b] Ἑρμηνεία τοῦ ριθ΄ ψαλμοῦ. Ὠδὴ τῶν ἀναβαθμῶν:—Ὁ Θεοδοτίων· ᾆσμα τῶν ᾀσμάτων [3]). ὁ δὲ Σύμμαχος καὶ ὁ Ἀκύλας· εἰς τὰς ἀναβάσεις (изъ плѣна Вавил.).	... [л. 230a] Ὁ Ἀκύλας καὶ ὁ Σύμμαχος· εἰς τὰς ἀναβάσεις. Ὁ δὲ Θεοδοτίων· ᾆσμα τῶν ἀναβάσεων. τίνος ἕνεκεν οὕτως εἴρηνται;
Этого нѣтъ здѣсь.	κατὰ μὲν ἱστορίαν, ὅτι περὶ τῆς ἐπανόδου διαλέγεται τῆς ἐκ Βαβυλῶνος· κατὰ δὲ ἀναγωγήν, ὅτι εἰς τὴν τῆς ἀρετῆς ὁδὸν ἐξελήφθησαν...
126 Ψαλμ. ... [л. 145b] ⁜ Ὡσεὶ βέλη ἐν χειρὶ δυνατοῦ, οὕτως υἱοὶ τῶν	Не

[1]) NB. Итакъ составитель толкованій сей псалтири имѣлъ подъ руками текстъ не 70 толковниковъ, а другой.

[2]) NB. Этотъ псаломъ раздѣленъ на три отдѣла (στάσεις).

[3]) Ошибка! ἀναβάσεων.

первая	вторая псалтирь
ἐκτετιναγμένων:—Ὁ Θεοδοτίων· ὡς βέλη ἐν χειρὶ δυνατοῦ, οὕτως υἱοὶ νεότητος. κατὰ ταύτην δὲ τὴν διάνοιαν καὶ ὁ Ἀκύλας καὶ ὁ Σύμμαχος ἡρμήνευσεν. λέγει δέ, ὅτι ἐσόμεθα τῷ θεῷ πεποιθότες οὐ μόνον πολλοί, ἀλλὰ καὶ δυνατοί, οἷόν τινα βέλη παρὰ δυνατοῦ τινος ἀφιέμενα . . .	сли- че-
127 Ψαλμ. . . . [л. 146ª] ❊ Τοὺς πόνους τῶν καρπῶν σου φάγεσαι:—Ὁ δὲ Σύμμαχος· κόπον χειρῶν σου ἐσθίων. ὡς εἶναι δῆλον, ὅτι καὶ οἱ ο' καρποὺς οὐ τὴν ἐπικαρπίαν ἐκάλεσαν, ἀλλὰ τὸ μόριον τῶν χειρῶν . . .	но.
131 Ψαλμ. [л. 148ª] Ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν Ἐφραθᾷ· εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ.—Εὐφραθᾶ δὲ ἡ νῦν καλουμένη Βηθλεὲμ ὠνομάζετο. ἐκεῖ δὲ ὁ δεσπότης ἐτέχθη Χριστός, ὃς τοῖς Ἰουδαίοις τὸ οἰκεῖον σῶμα ὑποδείξας ἔφησε· Λύσατε τὸν ναὸν τοῦτον. δρυμοῦ δὲ πεδία καλεῖ τοῦ ἐν Ἱεροσολύμοις ναοῦ τὸν τόπον ἔρημον ὄντα καὶ οἰκοδομίαν οὐκ ἔχοντα· [л. 149ª] ἐκεῖ γὰρ τὸν ὀλοθρευτὴν ἄγγελον διὰ τῆς πρὸς θεὸν ἱκετείας ἐπισχὼν ὁ	Не сли- чено.

первая	вторая псалтирь
μέγας Δαβίδ, καὶ βωμὸν ἔστησεν καὶ θυσίαν προσήνεγκεν...	
	134 Ψαλμ.—. . . [л. 252[b]] Ἀνάγων νεφέλας ἐξ ἐσχάτου τῆς γῆς, ἀστραπὰς εἰς ὑετὸν ἐποίησεν, ὁ ἐξάγων ἀνέμους ἐκ θησαυρῶν αὐτοῦ. Ἄλλως: ἀναβιβάζων. Ἕτερος: ἀνασπῶν ἀπὸ ἄκρων. Ἄλλως: ἐκ τελέσματος. ἐξ ἐσχάτου, ἤτοι ἀπ' ἄκρου γῆς . . .
Этого нѣтъ здѣсь.	
То же, но другими словами.	ρλς' Τῷ Δαβὶδ ψαλμός. Ἐπιγέγραπται μὲν παρά τισι τῷ Δαβὶδ διὰ Ἱερεμίου· ὅτι δὲ πεπλάνηνται, καὶ ἀπ' αὐτῶν ἐστι τῶν ῥημάτων μαθεῖν. Ἱερεμίας γὰρ τῆς εἰς Βαβυλῶνα αὐτοῖς αἰχμαλωσίας οὐκ ἐκοινώνησε. Βαβυλωνιακός δέ ἐστιν, ὡς καὶ αὐτὰ δείκνυσιν ἐν προοιμίοις τὰ ῥήματα. θαυμάσαι δὲ ἄξιον, πῶς μεταξὺ κεῖται τῶν ἐπινικίων οὗτος, αἰχμαλωσίαν κηρύττων, ἐξ οὗ δεῖλον τὸ μὴ κατὰ τάξιν συντεθῆσθαι τοὺς ψαλμούς, ἀλλ' ὡς εὑρέθησαν . . .
Этого нѣтъ здѣсь	
[л. 156[a]] Ἑρμηνεία τοῦ ρλη' ψαλμοῦ. Εἰς τὸ τέλος. Ψαλμὸς τῷ Δαβίδ. Ἐν ἐνίοις ἀντιγράφοις πρόσκειται Ζαχαρίου, εἰς τὴν διασποράν:—Τοῦτο οὔτε παρὰ τῷ Ἑβραίῳ,	Не сли-

первая

οὔτε παρὰ τοῖς ο', οὔτε παρὰ τοῖς ἄλλοις εὗρον ἑρμηνευταῖς, ἀλλά τις ὡς ἠβουλήθη νενοηκὼς τὸν ψαλμόν, τῆς ἐπιγραφῆς ἐποιήσατο τὴν προσθήκην. ὁ μέντοι ψαλμὸς τὴν Ἰωσίου τοῦ βασιλέως πρόρρησιν ἔχει . . .

[л. 161ᵇ] Ἑρμηνεία τοῦ ρμγ' ψαλμοῦ τῷ Δαβίδ. Ἐν ἐνίοις τῶν ἀντιγράφων τῇ ἐπιγραφῇ προσκείμενον εὗρον· πρὸς τὸν Γολιάθ. οὔτε δὲ παρὰ τῷ Ἑβραίῳ, οὔτε παρὰ τοῖς ἄλλοις ἑρμηνευταῖς, οὔτε μὴν παρὰ τοῖς ο' εὗρον ἐν τῷ Ἑξαπλῷ. . . .

вторая псалтирь

чено.

[л. 269ᵇ] ρμ' ψαλμὸς τῷ Δαβίδ. — Τοῦτον οἱ μὲν τὸν Δαβὶδ διωκόμενον ὑπὸ Σαοὺλ καὶ ἐπικουρίας ἀξιοῦντα τυχεῖν ἀναγράψαι φασί. οἱ δὲ ἐκ τῶν ἐν Βαβυλῶνι ταριχευθέντων τῷ πλήθει τῶν συμφορῶν καὶ ἀξιούντων μὴ ἀπωσθῆναι . . .

13 февраля 1861 года.
Въ Каирѣ.

№ 62.

Въ той же библіотекѣ.

Εὐθυμίου Ζυγαβινοῦ ἐξήγησις ψαλτηρίου. Рукопись на пергаминѣ въ большой листъ, XIII вѣка, писана хорошимъ, четкимъ почеркомъ.

Προοίμιον.

Πατὴρ τοῦ παρόντος βιβλίου. τὸ μὲν ὅλον εἰπεῖν. ὁ θεοῦ παῖς . . . .

№ 63 (**1927**).

Въ той же библіотекѣ.

На бумагѣ in 4°, XVII вѣка. [Содержитъ:]

Παράφρασις τῶν ψαλμῶν τοῦ Δαβίδ, ἤτοι ἐξήγησις εἰς κοινὴν γλῶσσαν· ὁποῦ ἐξηγηθήκασιν παρὰ τοῦ σοφωτάτου καὶ λογιωτάτου κυροῦ Μελετίου τοῦ Συρίγου.

Διὰ τὴν μακαριότητα καὶ τελειότητα τῶν δικαίων, καὶ τὴν ματαιότητα καὶ ἀπώλειαν τῶν ἀσεβῶν ψαλμὸς πρώτος·

Ψαλμὸς α΄. Μακάριος ἀνὴρ . . .	Μακάριος ἠμπορεῖ νὰ ὀνομασθῇ ἐκεῖνος ὁ ἄνθρωπος, ὁ ὁποῖος δὲν περιπατεῖ τὸν δρόμον, ὁποῦ περιπατοῦσιν οἱ πολλοί, ὁποῦ πρῶτα ἀπακούουσι ταῖς κακαῖς συμβουλαῖς τῶν ἀσεβῶν. . .
Ἦν τίς που δράκων τοῖς ταύτης ἐμφολεύων ὁρίοις ὃν οἱ τὴν πόλιν οἰκοῦντες θεοποιούμενοι ἐνιαυσιαίῳ ἐτίμων θυσίᾳ· ἡ δὲ ἦν κόρη παρθένος ἄρτι πρὸς ἥβην ἐλάσασα καὶ διὰ τὸ τῆς παρθενίας ἀμίαντον θῦμα τηρουμένη τῷ δράκοντι... Κατὰ δὴ τὸ εἰωθὸς ἐκεκλήρωτό τις χριστιανῶν τὸ ἑαυτοῦ θυγάτριον εἰς θυσίαν ἐπιδώσων τῷ δράκοντι. ὃς τοῖς φυσικοῖς διαπληττόμενος κέντροις [л. 243^b] ἐγκαρδίους στεναγμοὺς πρὸς τὸν μέγαν ἀνέπεμπε Π ρ ό δ ρ ο μ ο ν. καὶ ὅπως ἡ παῖς τοῦ θανάτου ἀπαλλαγῇ, σοφίζεταί τι τοιοῦτο. χρῆμα χρυσοῦ ἐν ἑαυτῷ ποιησάμενος κρυφίον, τὴν τιμίας χειρὸς ἐξαιτεῖται προσκύνησιν πρὸς τοῦ ταύτην διαφυλάττοντος· ὁ δὲ τῇ αἰτήσει παρεχώρει τὴν εἴσοδον. Ἐν τούτοις δὲ τοῦ ἀνδρὸς γενομένου, καὶ ὃν ἐπεφέρετο χρυσὸν λανθανόντως ὡς ἐν προσποιήσει προσκυνήσεως τῷ ἐδάφει ἐκχεάντος, κατευθὺ προεχώρει τῆς προσκυνήσεως. Ὁ δὲ νεωκόρος ἐπείπερ ὄμμασι λίχνοις ἀπεῖδε πρὸς τὸν χρυσόν, πρὸς τὴν ἐκείνου ἐπέτρεχε συλλογήν. ὁ δέ γε τὴν προσκύνησιν αἰτησάμενος συγκεκυφὼς καὶ ὅλον ἑαυτὸν τῇ σορῷ ἐπικλίνας, πόθῳ θείῳ βαλλόμενος, τὸν τῆς σεπτῆς δεξιᾶς ἀντίχειρα δάκτυλον σὺν τῷ ἀσπασμῷ τῇ τῶν χειλέων προσψαύσει τοῖς ὀδοῦσιν ἀποτεμὼν καὶ περικρύψας, ὡς τάχους εἶχε, τοῦ ἱεροῦ ἐπανέτρεχε. Καὶ δὴ ὡς τῆς θυσίας ἡμέρα ἐφειστήκει καὶ τὸ τῶν πολιτῶν καὶ περιοίκων συνείλεκτο θέατρον, πρόσεισιν ὁ πατήρ, τὴν παῖδα πρὸς θυσίαν ἐπιφερόμενος. καὶ κατεγγὺς τοῦ δράκοντος γεγονώς, ἐπείπερ εἶδεν αὐτὸν μέγιστόν τε καὶ ἄμετρον κεχηνότα καὶ φρικώδεσι συριγμοῖς τοὺς ἀκούοντας καταπλήττοντα καὶ τοῦ θύματος ἐφιέμενον, τὸν ἱερὸν καὶ πάνσεπτον δάκτυλον μέσον ἀκοντίσας τοῦ φάρυγγος τῇ τούτου ἐπεμβολῇ τὸν θάνατον αὐτῷ συνεσήνεγκε... Τὸ δὲ περιεστηκὸς πλῆθος τῷ ὑπερβάλλοντι τοῦ θαύματος ἐκπληττόμενον, ἐνχαριστηρίοις φωναῖς τὸ θεῖον ἠμείβοντο· ἐξ οὗ καὶ ναόν, ἔνθα τὸ θαῦμα τετέλεστο, τῷ Προδρόμῳ ἐδείμαντο, κρεμαστὸν αὐτὸν ὀνομάσαντες· εἴτε διὰ τὸ τῆς γῆς ὕπερθεν τοῦ ναοῦ ἔδαφος εἶναι μετέωρον, εἴτε διὰ τὸ πρὸς οἰκοδομημάτων ὕψει τὴν τούτου εὐρυχωρίαν ἐκτετᾶσθαι ὡς μικροῦ τοῖς ὁρῶσι δοκεῖν ἀέριον κρέμασθαι· ἐν ᾧ τὸν ἱερὸν τοῦτον καὶ

θαυματουργὸν ἀποθέμενοι δάκτυλον, ἐτησίοις τιμῶσιν αὐτὸν πανηγύρεσι...

... [л. 244[a]] Ἀλλ' ὅτε δὴ τὸ βαρβαρικὸν τοῦτο γένος τῶν παλαιῶν ἐξερπῦσαν καταδύσεων τῆς Ῥωμαϊκῆς ἐπικρατείας φεῦ μοι τὸ πλεῖστον ὑφείλετο καὶ πρὸς ἐξουσίαν τὴν ἑαυτοῦ ὑπηγάγετο, τότε δὴ καὶ ἡ Ἀντιόχου πόλις μετὰ τῶν ἄλλων εἰς δουλείαν συνελαμβάνετο... ἐν ταύτῃ τῆς ἱερᾶς χειρὸς ἀποτεθειμένης... πολλοῖς μὲν θαύμασιν ἐδοξάζετο, πλεῖσταις δὲ παραδοξοποιΐαις ἐμεγαλύνετο. λέγεται γάρ τι καὶ τοιοῦτο τερατουργεῖσθαι σημεῖον· πότε μὲν τοὺς τῆς τοιαύτης ἁγίας χειρὸς δακτύλους ἐπιτετᾶσθαι, πότε δὲ συστέλλεσθαι, ὧν τῇ μὲν ἐκτάσει εὐφορίαν ἐπιδηλοῦσθαι καρπῶν, τῇ δὲ συστολῇ ἀπορίαν καὶ ἔνδειαν... Многіе желали взять ее въ Константинополь, но не удавалось.

... [л. 244[b]] κατὰ τήνδε τὴν γενεὰν τὸ μέγα τοῦτο καὶ ὑπερφυὲς ἀνακαλυφθῆναι τεράστιον, καθ' ἣν Κωνσταντῖνος καὶ Ῥωμανός, οἱ μεγάλης εὐφημίας ἐπάξιοι ἐξ αὐτῆς γεννήσεως τῇ πορφυρίδι σπαργανωθέντες, τὰς αὐτοκρατορικὰς ἡνίας διεῖπον καὶ διεζώννυντο, ὅπερ ἐστὶν ἡ τῆς πανσέπτου χειρὸς τοῦ Προδρόμου ἐξαγωγὴ καὶ ἀνάκλησις, ὁ δὲ τῆς ἀνακλήσεως τρόπος ὡς λίαν θαυμαστὸς καὶ παράδοξος.

Ἀνήρ τις τῶν τῆς Ἀντιόχου κλήρῳ διακόνων συνταττόμενος ἐπίπνους ἄνωθεν γεγονὼς καὶ ζήλου θείου ἀνάπλεως πεφυκώς, διενοεῖτο καθ' ἑαυτόν, εἴγε δύναιτο τὴν τοῦ Προδρόμου δεξιὰν ὑφελόμενος χριστιανοῖς χαρίσασθαι δῶρον ποθούμενον· καὶ δὴ πρὸς πεῖραν ἀνεχώρει τοιάνδε. Ναὸς περικαλλὴς καὶ μετάρσιος ἐπ' ὀνόματι τοῦ κορυφαίου τῶν ἀποστόλων Πέτρου ἀνὰ τὸ ἄστυ τοῦτο ἀνίδρυται· οὗ ἐν τοῖς προαυλίοις τὴν κατοίκησιν ποιησάμενος, τῷ τῶν ἐκεῖσε ἱερῶν σκευῶν φύλακι πρὸς γνησίαν φιλίαν συνήπτετο· ὡς ἐκ τούτου πειρᾶσθαι σὺν αὐτῷ· καὶ δι' ὅλης τῆς νυκτὸς τῇ τῆς τιμίας χειρὸς προσεδρεύειν σορῷ· ὡς δὲ οὐκ ἐπένευε πρὸς τὴν αἴτησιν ὁ τὴν φυλακὴν ἐγκεχειρισμένος, τῶν ἀδοκήτων τι διανοούμενος, πρὸς ἑτέραν μέτεισι μηχανήν, καὶ πολυτελεῖ τραπέζῃ τοῦτον εὐφράνας καὶ φιλικαῖς προπόσεσί τε καὶ δεξιώσεσι, πρὸς βαθὺ καὶ θανάτου γείτονα καταγαγὼν ὕπνον, τὰς κλεῖς τῆς σοροῦ ὑφελόμενος, καὶ διά τινος θυρίδος ἀωρὶ τῶν νυκτῶν ἑαυτὸν κα-

θεὶς τῷ ναῷ, ἠρέμα ἀψοφητὶ τὴν ἱερὰν ὑπανοίξας [л. 245ᵃ] σορόν... λαμβάνει τὴν ποθουμένην τιμίαν δεξιὰν καὶ ἡσυχῇ ὀπισθόρμητος ἐξιών, κρύπτει μὲν παρ' ἑαυτῷ σὺν ἀσφαλείᾳ τὸ κλαπέν, ὡς μή τινι τῶν βαρβάρων γένηται γνώριμον. ἐντεῦθεν ἔξεισι τῆς Ἀντιόχου καὶ τῆς ὁδοῦ εἴχετο... Τὰς χαλεπὰς καὶ θανατηφόρους ἐκείνας ὁδοὺς διεληλυθώς, τῶν Ῥωμαϊκῶν ὀρέγων ἐπέβαινεν... Ὡς δὲ βασιλεὺς ὁ πιστὸς τὴν ταύτης εὐηγγελίζετο ἄφιξιν, καὶ τῷ παραδόξῳ τοῦ πράγματος κατεπλήττετο... τοὺς δὲ τουτὶ τὸ ἅγιον ἀναληψομένους... ἐξέπεμπεν... τοιγαροῦν ἐπεὶ πρὸς αὐτὸ τὸ ἄστυ Καλχηδόνος ἤδη προσήγγιζε, ναῦς μὲν βασίλειος ἐξεπέμπετο, καὶ ἱεράρχης σὺν ἱερεῦσι, καὶ ὅσον τῆς συγκλήτου ἐπίσημον συνεπέμπετο τὸ ἱερὸν ἐκεῖνο θησαύρισμα μεταγάγαι πρὸς τὰ βασίλεια... συνέδραμε δὲ καί τι τῶν ἄλλων παραδοξότερον καὶ τῇ τιμίᾳ χειρὶ τοῦ Προδρόμου ἐπάξιον· ἑορτὴ γὰρ παρῆν τῆς τῶν ἁγίων φώτων ἡμέρας... ἣν [подраз. τὴν θείαν χεῖρα] βασιλεὺς ὁ φιλοχριστότατος ὡς οὐράνιόν τι καὶ ἀκήρατον δῶρον ὑποδεξάμενος... ἐν μέσῳ τῷ τῶν βασιλείων ναῷ ἀποτίθησιν ... [л. 246ᵃ] Τελέσαντές τε καὶ πανηγυρίσαντες, ἑορταῖς ἐτησίοις τιμᾶν κεκρίκαμεν ἄξιον τὴν κατάπαυσιν... Καὶ νῦν ἰδοὺ πάρεστιν ἡ πανεύσιμος αὕτη καὶ λαμπρὰ ἑορτὴ διὰ τῆς τοῦ ἐνιαυτοῦ κυκλικῆς περιόδου, ὄμβρους θαυμάτων ἡμῖν ἐπιστάζουσα ... Πρόκειται ἡ πάντιμος καὶ πανένδοξος τοῦ Βαπτιστοῦ καὶ Προδρόμου χείρ, ἀσωμάτοις περικυκλουμένη δυνάμεσι...

... [л. 248ᵃ] Ἀλλ' ὦ βαπτιστά, καὶ Λόγου φωνὴ καὶ ἡλίου αὐγή, καὶ νόμου σφραγίς, καὶ χάριτος ἀπαρχὴ ... ἐπίστηθι σήμερον ἀοράτως ἡμῖν... ὅλως τῷ ἱερῷ τεμένει τούτῳ ἀδιαστάτως ἐπιφοιτῶν, τοῦ ἐν σοὶ πεποιθότος πιστοτάτου τάχα βασιλέως τὴν πίστιν ἱστόρησον, τὸ πρὸς σὲ τοῦ πόθου διακαὲς ἐπιμέτρησον. Ἴδε, οἵαις σὲ δεξιοῦται ταῖς πανηγύρεσιν, οἵαις φωτοφανείαις τιμᾷ, ἡλίκαις πνευματικαῖς μελῳδίαις καὶ λαμπαδουχίαις φωτοφανέσι καταλαμπρύνει τῆς χειρός σου τὴν εἴσοδον... ἀμήν:—

NB. Это слово написано хорошимъ слогомъ.

10) лл. 249ᵇ—250ᵇ Τοῦ σοφωτάτου Ψελλοῦ εἰς τὸ θεολογικὸν ῥητὸν τὸ λέγον· «διὰ τοῦτο μονὰς ἀπ' ἀρχῆς εἰς δυάδα κινηθεῖσα μέχρι τριάδος ἔστη».

Οὐκ ἀποκρύψομαι πρὸς ὑμᾶς, ὦ φίλτατοι παῖδες, οὓς διὰ τῆς φιλοσοφίας ὠδίνησα, ὅτι ποτε πέπονθα τῷ πατρὶ περὶ τουτοῖ τὸ ῥητὸν, τὸ, διὰ τοῦτο μονὰς ἀπ' ἀρχῆς εἰς δυάδα κινηθεῖσα μέχρι τριάδος ἔστη... ὑμῖν δίδωμι ἐννοεῖν.

11) лл. 250^b—252^b Τοῦ αὐτοῦ εἰς τὸ εὐαγγελικὸν ῥητόν. «γίνεσθε φρόνιμοι ὡς οἱ ὄφεις.

Μία καὶ αὕτη τῶν παρὰ τοῦ θείου λόγου πρὸς τοὺς μαθητὰς παραινέσεων· τὸ δὴ σπεύδειν τὸ φρόνημα μὲν μιμεῖσθαι τῶν ὄφεων, τῶν δὲ περιστερῶν τὸ ἀκέραιον... ἐπίστασθαι τὴν ἀφαίρεσιν.

12) лл. 253^a—255^b Τοῦ αὐτοῦ εἰς τὸ ἀποστολικὸν ῥητὸν τὸ φάσκον· «ἑκάστου τὸ ἔργον ὁποῖόν ἐστι, τὸ πῦρ δοκιμάσει».

Ἑκάστου τὸ ἔργον, φησὶν ὁ ἀπόστολος, ὁποῖόν ἐστι, τὸ πῦρ δοκιμάσει· ἡ γὰρ ἡμέρα δηλώσει... τοῦ ἐλεῆσαι ἡμᾶς:—

[13) лл. 256^a—263^a Толкованіе символа вѣры, безъ заглавія, для котораго оставлено мѣсто; in m. часто стоитъ παχω.

Πιστεύω· Εὐαγγέλιον. Πιστεύεις εἰς τὸν υἱὸν τοῦ θεοῦ; Καὶ πιστεύετε εἰς τὸν θεὸν καὶ εἰς ἐμὲ πιστεύετε. Ἀπόστολος· πίστευσον...

14) лл. 263^a—264^b Ἐπακολουθῶν ἐγὼ τῇ ὁμολογίᾳ ὡς χρὴ ποιεῖν τοὺς τὸ μοναχικὸν σχῆμα λαμβάνοντας εἶπον οὕτως·

Πιστεύω τὸν υἱὸν τοῦ θεοῦ... καὶ ἡ δωρεὰ αὐτοὺς δίδωσι:— съ помѣткой писца: ὡς ἔκειτο ἐν τῷ πρωτοτύπῳ ἐν πᾶσι:—

15) л. 265^b Ἐκ τῆς τοῦ ἁγίου Φωτίου βιβλιοθήκης τμήματος σκβʹ.

Ἀνεγνώσθη βιβλίον Ἰωβίου... ὅλως συνθέσεως:—]

№ 518.

Въ Синаеджуваніийской библіотекѣ.

Κῶδιξ βʹ, на бумагѣ in 4⁰ majori, въ кожаномъ переплетѣ, составленъ въ первой половинѣ XVIII вѣка.

Статьи въ этомъ кодексѣ:

1) Καλλινίκου πατριάρχου Κωνσταντινουπόλεως συγιλλιῶδες γράμμα περὶ συστάσεως σχολῆς ἐν Κωνσταντινουπόλει, 1691 ἔτους ἐν μηνὶ ἰουλίῳ.

2) Λόγος ἠθικὸς συντεθεὶς παρὰ Σαμουὴλ τοῦ πατριάρχου Ἀλεξανδρείας, παρατυχόντος κατὰ τὴν πόλιν Ἰασίου τῆς Μολδοβλαχίας, πρὸς νουθεσίαν καὶ θεάρεστον διαγωγὴν τῶν ἐν αὐτῇ εὐσεβῶν ἀμφοτέρων τῶν τάξεων.

> Φοβερὸς ἐστάθη ὁ θυμὸς τοῦ μεγάλου θεοῦ, καὶ ἡ ὀργή του φρικωδεστάτη εἰς τὴν ἀρχὴν τοῦ κόσμου, οὐχὶ μόνον κατὰ τοῦ πρώτου ἀνθρώπου . . .

Длинное слово, въ которомъ витія обличаетъ многія злоупотребленія и дурные нравы Молдавскаго клира и народа.

3) Ὁ τόμος τῆς ἑνώσεως, ἤτοι ἔκθεσις τῆς γενομένης τῆς ἐκκλησίας ἑνώσεως ἐπὶ Κωνστατίνου καὶ Ῥωμανοῦ, τοῦ μὲν βασιλεύοντος, τοῦ δὲ τῷ τοῦ βασιλεοπάτορος ἀξιώματι διαπρέποντος.

> Ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστὸς καὶ θεός. . .

4) Ἀλεξίου τοῦ Κομνηνοῦ περὶ τῶν ἱερῶν σκευῶν καὶ τοῦ μὴ ἄλλοτε ποτὲ ταῦτα κοινωθῆναι, κατὰ τὸν αὔγουστον μῆνα τῆς ε′ ἰνδικτιῶνος ἐν ἔτει ͵ϛφϟ′ (6590).

> Οἱ πονήρως τοῦ σώματος ἔχοντες. . .

5) Χρυσόβουλλον τοῦ ἀοιδίμου βασιλέως τοῦ κοσμοποθήτου κυροῦ Ἰωάννου Δούκα τοῦ Βατάζη κατὰ τὸν δεκέμβριον μῆνα τῆς β′ ἐπινεμήσεως τοῦ ͵ϛψλζ′ ἔτους.

> Ἔσονται οἱ λευῖται ἐμοί, τῷ ἱεροφάντῃ Μωσῇ πάλαι χρηματίζει θεός. . . Ἡ γοῦν βασιλεία μου ἀθέμιτον εἶναι τοῦτο λογιζομένη διορίζεται διὰ τοῦ παρόντος χρυσοβούλλου λόγου αὐτῆς· ἐπὰν εἴς τινα τῶν μητροπολιτῶν καὶ τῶν ἐπισκόπων ἐπισυμβῇ θάνατος, μὴ πόδα παραβάλλειν ὅλως τοὺς κατὰ καιρὸν δοῦκας, οἱουδήτινος θέματος, ἤ τινα τῶν ὑπ' αὐτοὺς πρακτόρων, ἐν τοῖς κελλίοις τῶν τετελευτηκότων ἀρχιερέων, μητροπολιτῶν δηλονότι καὶ ἐπισκόπων, καὶ τὸ οἱονδήτι ἐκεῖθεν ἀναλαμβάνεσθαι, ἢ τοὺς ἐκεῖσε προσκαθημένους τε καὶ παρευρεθέντας προσγενεῖς αὐτῶν, ἢ τοὺς εἰς ὑπηρεσίαν

ἀποτεταγμένους τοῖς ῥηθεῖσιν ἀρχιερεῦσι κατακρατεῖν καὶ ἕλκειν εἰς δόσιν νομισμάτων, καὶ τὸ οἱονδήτι ἀπὸ τούτων ἀναλαμβάνεσθαι. ἀποτραπήσεται καὶ πᾶς ἐκεῖθεν διασειστὴς τῇ ἐμφανείᾳ τοῦ παρόντος χρυσοβούλλου λόγου τῆς βασιλείας μου· Τὰ δὲ παρευρεθέντα ἐν τοῖς κελλίοις τῶν ἀρχιερέων, ἄν τε βιβλία ὦσιν, ἄν τε ζωαρκῆ εἴδη καὶ ἕτερά τινα χρειώδη, παρακελεύεται ἡ βασιλεία μου παραλαμβάνειν αὐτὰ τὸν ἐφ' ἑκάστῃ ἐκκλησίᾳ οἰκονόμον ἐνώπιον τοῦ κλήρου παντός, καὶ οἰκονομεῖν ὥστε ἀνελλιπῶς καὶ θεοφιλῶς γίνεσθαι πᾶσαν τὴν ἐκκλησιαστικὴν οἰκονομίαν τε καὶ κατάστασιν, μέχρις ἂν ἕτερος ἐνδημήσῃ ἀρχιερεύς· Ἐπὶ τούτῳ γὰρ ὁ παρὼν χρυσόβουλλος λόγος τῆς βασιλείας μου ἐγεγόνει...

6) Τόμος Σισινίου πατριάρχου περὶ τοῦ μὴ λαμβάνειν δύο ἀδελφοὺς ἐξαδέλφας δύο, ἐν ἔτει ͵ϛφε' (6505=997).

7) Γράμμα τοῦ πατριάρχου Ἀντιοχείας Μιχαὴλ πρὸς Σιναΐτας ͵ζπδ' ἔτους (1576) φευρουαρίου μηνός.

Οἱ ἐν τῷ ἁγίῳ ὄρει Σινᾶ καὶ τοῖς αὐτοῦ μετοχίοις... Γνωστὸν ἔστω πᾶσιν ὑμῖν, πῶς ἐμάθαμεν διὰ ζώσης φωνῆς, ὅτι ὁ αὐτόθι πατριαρχεύων κὺρ Σύλβεστρος ἀπελθὼν εἰς τὴν Κωνσταντινούπολιν συνήγειρε λογομαχίας καὶ σκάνδαλα κατὰ τοῦ ὑμετέρου ἁγίου μοναστηρίου...

Противъ Александрійскаго патріарха Сильвестра, притѣснявшаго Синаитовъ.

8) Ἴσον τῆς γραφῆς, ὁποῦ ἔστειλαν οἱ Σιναΐται εἰς τὸν αὐθέντην τῆς Μολδοβλαχίας Βασίλειον Βοεβόδα κατὰ τοῦ Ἀλεξανδρείας.

Ἐκλαμπρότατε ... Οἱ δυνατοὶ τὰ ἀσθενήματα τῶν ἀδυνάτων ἢ πάντα τὰ γῆς πέρατα περιηχήσασα γλῶσσα Παύλου βαστάζειν διακελεύεται...

9) Ἴσον τοῦ κατὰ τῶν Σιναϊτῶν πατριαρχικοῦ γράμματος Ἰωαννικίου οἰκουμενικοῦ 1646 νοεμβρίῳ.

Τρισί τισι τρόποις διοικεῖσθαι πέφυκε τὸ ἀνθρώπινον γένος...

10) Τοῦ αὐτοῦ πατριάρχου γράμμα πρὸς τὸν κλῆρον καὶ ἄρχοντας τοῦ θρονου τῆς Ἀλεξανδρείας κατὰ τῶν Σιναϊτῶν 1646 ἔτους ἐν μηνὶ δεκεμβρίῳ.

Ἐντιμότατοι κληρικοὶ ... Γινώσκετε καλά, πῶς τὰ τέλη καὶ τὰς αἰτίας, καὶ τὰς ἀφορμὰς ὅλων τῶν πραγμάτων...

11) Καθαίρεσις τοῦ πρώην Κρήτης Ἰωάσαφ.

«Οὐδένα οἶμαι τῶν καὶ καλοῦ μικρὸν γευσαμένου καὶ θεοπνεύστου ῥήματος, ἀγνοεῖν καὶ ἀμφιβάλλειν...

12) Τὸ ἴσον καὶ ὅμοιον τοῦ πρωτοτύπου τοῦ συνοδικοῦ τῆς ἐν Κωνσταντινουπόλει ἐκκλησίας τῶν Σιναϊτῶν, 1686 ἔτους κατὰ μῆνα ὀκτώμβριον.

Καθάπερ ἐν τοῖς παρὰ θεοῦ πλαστουργηθεῖσι ποιήμασι...

13) Γράμμα τοῦ οἰκουμενικοῦ πατριάρχου Παρθενίου 1643 ἔτους κατὰ μῆνα αὔγουστον.

Πηγαῖα μὲ τῶν θείων μυσταγωγιῶν ὁ μέγας ἀρχιερεύς... дозволяетъ Синаитамъ служить литургію въ Джуванійскомъ подворьѣ.

14) Γράμμα οἰκουμενικοῦ πατριάρχου Ἰωαννικίου 1651 ἔτους.

Συμβόλων ὄντων τῶν περὶ τὰ πράγματα λόγων καὶ χαρακτήρων ἀνδρικῶν τῶν ἡγεμονικῶν τῆς ψυχῆς παραπεμπομένων...

Дозволяетъ Синаитамъ служить литургію въ Джуван. подворьѣ ихъ.

Выписки изъ этой грамоты:

Въ 1672 году въ Іерусалимѣ при патріархѣ Досиеѣ были архіереи: Назаретскій Парееній, Петроаравійскій (πρώην) Дороѳей, Газскій Христодулъ, Неаполійскій Христофоръ. — Въ 1566 году игуменомъ Син. м-ря былъ не архіерей, а іеромонахъ Ѳеодулъ. Тогда Александр. патріархъ Іоакимъ завѣдывалъ Синайскимъ братствомъ и за него отписывался въ Венецію, что напрасно гвардіанъ св. гроба съ братіею жаловался въ Венеціи, будто Синайскіе монахи, живущіе въ Іерусалимѣ, какъ поклонники, помогали

греческому патріарху, νὰ πάρῃ αὐτὸς ἀπὸ τοὺς αὐτοὺς φράρους μίαν πόρταν τῆς ἐκκλησίας τοῦ ἁγίου σπηλαίου εἰς τὴν Βηθλεέμ...

— Въ 1673 году въ іюнѣ м-цѣ вселенскій патріархъ Діонисій грамотою своею объявилъ, что Синайскій монастырекъ св. Георгія на островѣ Самосѣ съ имѣніями его не зависитъ отъ тамошняго архіерея.

15) Γράμμα Διονυσίου οἰκουμενικοῦ πατριάρχου 1672 ἔτους κατὰ μῆνα ἰούνιον о церкви св. евангелиста Матѳея въ крѣпости Хандакъ, на островѣ Критѣ, которую драгоманъ Порты Панаіоти отдалъ Синайскому монастырю.

16) 1685 г. Адріанопольскій митрополитъ Неофитъ отдалъ Синайскому м-рю въ Адріанополѣ малую церковь Іоанна Богослова Ὀρφανοῦ.

17) Γράμμα τοῦ Ἱεροσολύμων Νεκταρίου 1661 ἔτους κατὰ μῆνα σεπτέμβριον, о томъ, что посвященъ архіепископъ Синайск. горы Ананія.

18) Γράμμα τοῦ Ἱεροσολύμων Χρυσάνθου 1721 ἔτους κατὰ μῆνα μάϊον, о томъ, что посвященъ Іоанникій въ архіепископа Синайскаго.

19) Πρᾶξις τοῦ κυρ Γερασίμου, ἤτοι γράμμα τοῦ οἰκουμενικοῦ πατριάρχου Καλλινίκου 1688 ἔτους ἐν μηνὶ ἰουλίῳ, о назначеніи бывшаго Касторійскаго митрополита Герасима на патріаршую каѳедру Александріи.

— Въ 1720 году Синайскимъ архіепископомъ былъ Аѳанасій, и Ѳиваидскимъ Арсеній. Они подавали голоса свои при избраніи Ливійскаго митрополита Самуила на патріаршую каѳедру въ Александріи.

8 февраля 1861 года.
Джуванія.

№ 519 (**1655**).

Πανδέκτης. Рукопись на бумагѣ, XVII вѣка, in 8° [(214 × 155) двумя основн. руками, съ оглавленіемъ, писаннымъ рукой Маргунія], содержитъ замѣчательныя статьи:

[1) л. 3—94ᵇ Τοῦ αὐτοῦ εἰς τοὺς ἀναβαθμοὺς καὶ περὶ τῆς ἐννοειδοῦς αἰτίας τοῦ πνεύματος: —

Πρὸς τοὺς ἐρωμένους ὁ λόγος τί ἐστι τὸ...

2) л. 95[a] слѣдд.] Ἰωάννου τοῦ Σιναΐτου τοῦ Κυδωνιάτου σύνταγμα ἀνατρέπον καὶ καταβάλλον πλείστας ἀντιθέσεις καὶ ἀντιλογίας τῶνφιλονείκων Ἰουδαίων:

Φορτικὴ λίαν καὶ δυσχερὴς τυγχάνει γε οὖσα ἡ τῶν χριστιανῶν πρὸς Ἑβραίους διάλεξις... Весьма длинное разсужденіе.

3) Σύνταγμα δεύτερον περιέχον τὸν ἔλεγχον τῆς Ἰουδαϊκῆς πλάνης, ἐν σχήματι διαλόγου, Ἰωάννου Σαΐτου.

Ἰουδαῖος: Πολλὰ μεταξὺ σοῦ καὶ ἐμοῦ ῥήματα ...
Разговоръ весьма продолжительный.

4) Στίχοι ἰαμβικοὶ Ἰωάννου Σαΐτου παραινετικοὶ καὶ προτρεπτικοὶ ἐπὶ τὸν τῆς ἀγάπης σύνδεσμον πρὸς Μανουῆλον τὸν Μουρμουριανὸν καὶ Γεώργιον τὸν Καροφιλῆ συνομιλιτάς.

5) Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Μακαρίου τοῦ μεγάλου κεφάλαια ρν', μεταφρασθέντα παρὰ τοῦ σοφωτάτου λογοθέτου κῦρ Συμεὼν τοῦ Μεταφραστοῦ:

α. Χάριτι μὲν καὶ δωρεᾷ τοῦ πνεύματος θείᾳ ἕκαστος ἡμῶν τὴν σωτηρίαν πορίζεται...

[Далѣе между прочимъ находятся:

6) Γεωργίου ἀρχιεπισκόπου Νικομηδείας λόγος εἰς τὴν ὑπεραγίαν θεοτόκον, ὅτε προσηνέχθη ἐν τῷ ναῷ τριετίζουσα: —

Καλὰς ἡμῖν ὑποθέσεων ἀρχὰς...

7) (третьей рукой) Περὶ ἀθανασίας ψυχῆς Κικέρωνος.

8) Григорія Нисск. 30 главъ къ Петру.

9) Третьей рукой, которая сдѣлала выписку изъ Цицерона, сдѣланы и другія добавленія.]

№ 520 (**1795**).

Πανθέκτης, на бумагѣ, содержитъ сшитыя вмѣстѣ рукописанія разныхъ вѣковъ. Замѣчательны между ними:

1) [лл. 2[a]—17[b] Ἡ ἐποφειλομένη πρὸς θεὸν ἐτήσιος εὐχαριστία, καθ' ἣν ἡμέραν ἀπελάβομεν τὴν τοῦ θεοῦ ἐκκλησίαν σὺν

ἀποδείξει τῶν τῆς εὐσεβείας δογμάτων, καὶ καταστροφῇ τῶν τῆς κακίας δυσεβημάτων:—

Προφητικαῖς ἑπόμενοι ῥήσεσιν...

Смотри эту статью вполнѣ въ моемъ сборникѣ [Имп. Академіи Наукъ 129, стр. 759—816.

2) лл. 18ª—28ª Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Βασιλείου ἀρχιεπισκόπου Καισαρείας Καππαδοκίας ἱστορία ἐκμυσταγωγῆς (!) ἐκκλησιαστική· ἐπίλυσις καὶ κατάστασις τῆς ἁγίας λειτουργίας:—

α'. Ὁ μὲν συμαντὴρ κατὰ τὸν τύπον...

β'. Ἐκκλησία ἐστὶν ναὸς θεοῦ...

конч.... καὶ ἐν τῇ παλιγγενεσίᾳ ἀμήν:—

съ примѣч.: τέλος εἴληφεν ἡ θεία λειτουργία:— + ψέολωἔιοβφεν β αειθ οειοειψλχ℗ζίθ νιπλ'οθλω 'θνθζμσωψβω, т. е. τέλος εἴληφε ἡ θεία λειλειτουργία Νικόλαος ἀναγνώστης.

3) лл. 30ª—65ᵇ] Τοῦ μακαριωτάτου Ἰωάννου μοναχοῦ τοῦ Δαμασκηνοῦ κεφάλαια ριη' περὶ τῶν αἱρέσεων:—

[Χρὴ εἰδέναι πιστόν, ὡς πασῶν... παντελῶς ἀπηγόρευσεν:—

4) лл. 65ᵇ—70ª] Ἔκθεσις κατ' ἐπιτομὴν τοῦ τῶν Ἰακωβιτῶν δόγματος καὶ τῶν ἄλλων, ὧν ποιοῦσι παρὰ τὴν ἐκκλησιαστικὴν ὀρθόδοξον πίστιν τε καὶ παράδοσιν, συγγραφεῖσα παρὰ Δημητρίου μητροπολίτου Κυζίκου ἐκ π(ορφυ)ρογεννήτου υἱοῦ Λέοντος τοῦ Σοφοῦ, ἐν ᾗ καὶ περὶ τῶν Χατζιτζαρίων.

Ἐπειδή σου τὴν ὑπερφυῆ καὶ τῷ ὄντι βασιλικωτάτην... καὶ ταῦτα σου κελεύσαντος ἐκθήσομαι:—

Смотри эту статью вполнѣ въ моемъ сборникѣ сочиненій объ ересяхъ.

5) Κανονικόν, безъ начала, содержитъ, кромѣ многихъ другихъ статей XIVᵉ вѣка, слѣдующія статьи:

a) Ὅπως χρὴ δέχεσθαι τοὺς ἀπὸ αἱρέσεων τῇ ἁγίᾳ τοῦ θεοῦ ἀποστολικῇ ἐκκλησίᾳ προσερχομένους: περὶ τῶν ὀφειλόντων χρισθῆναι μύρῳ:—

b) Περὶ νόμου καὶ δικαιοσύνης: Λέων βασιλεὺς ἀπὸ τοῦ β' βιβλίου τῶν διαταγῶν τοῦ Γ' τίτλου κεφάλ. α'.

Νόμος ἐστὶ κοινὸν παράγγελμα. φρονίμων ἀνδρῶν δόγμα. ἑκουσίων καὶ ἀκουσίων ἁμαρτημάτων ἐπιστροφή. πόλεως συνθήκη κοινή, ἔστι δὲ καὶ θεῖον εὕρημα...

Τίτλος α΄. περὶ βασιλέως. Τί ἐστι βασιλεύς.

Ἐκ τοῦ θτ΄ τοῦ βιβλίου τῶν διαταγῶν. τίτλος β΄. περὶ πατριάρχου: τί ἐστὶ πατριάρχης.

Τίτλος Γ΄. Περὶ τάξεως ἐπάρχου и т. д.

Очень много подобныхъ статей.

c) νη΄. Νόμος Ῥοδίων κατ᾿ ἐκλογὴν ἐκ τοῦ ιδ΄ βιβλίου τοῦ Διγέστου:

α΄. Ἐὰν πλοῖον ὁρμᾷ ἐπὶ λιμένα, ἢ ἐν ἀκτῇ· καὶ σῦλα πάθῃ τῶν ἀγκύρων· καὶ κατασχεθεὶς ὁ κλέπτης ὁμολογήσῃ, τοῦτον κελεύει ὁ νόμος βασανίζεσθαι, καὶ τὴν προσγινομένην ζημίαν διπλασίως δίδοσθαι.

β΄. Ἐὰν βουλήσει τοῦ ναυκλήρου οἱ ναῦται σῦλα ποιήσωσιν ἀγκύρων πλοίου ἑτέρου...

d) лл. 322ª—328ª Φωτίου τοῦ ἁγιωτάτου πατριάρχου συναγωγαὶ καὶ ἀποδείξεις ἀκριβῶς συνειλεγμέναι ἔκ τε συνοδικῶν καὶ ἱστορικῶν γραφῶν περὶ ἐπισκόπων καὶ μητροπολιτῶν καὶ λοιπῶν ἑτέρων ἀναγκαίων ἐκκλησιαστικῶν ζητημάτων:—

[e) лл. 349ª—382ᵇ Ἐρωτήσεις τοῦ ἁγιωτάτου πατριάρχου Ἀλεξανδρείας κῦρ Μάρκου καὶ ἀποκρίσεις ἐπ᾿ αὐταῖς τοῦ ἁγιωτάτου πατριάρχου κῦρ Θεοδώρου τοῦ Βαλσαμών:—

Ὁ μὲν θεοπάτωρ...]

f) Ἐρωτήματα ἅπερ χρήζουσιν οἱ χριστιανοὶ οἱ κατοικοῦντες ἐν τῇ χώρᾳ τῶν Σαρακηνῶν, ἐρωτηθέντα παρὰ Μάρκου τοῦ ἐλαχίστου ἐν τοῖς πατριάρχαις Ἀλεξανδρείας ἐν ἡμέραις τῆς βασιλείας τοῦ Ἰσαακίου τοῦ Ἀγγέλου, καὶ ἐπὶ τοῦ οἰκουμενικοῦ πατριάρχου κυρ Γεωργίου, μηνὶ φευρουαρίῳ ἰνδικτιῶνος ιγ΄ ἐτῶν μετὰ τὴν σάρκωσιν τοῦ Κυρίου χιλίων διακοσίων γ΄:—

Ἐρώτ. Αἱ περὶ τὰ μέρη...

Вопросъ 1-й. О литургіяхъ Іакова и Марка, кои читались, ἀναγινωσκόμεναι, въ епархіяхъ патріарховъ

Александрійскаго и Іерусалимскаго, δεκταὶ εἰσίν, ἢ οὔ; Отвѣтъ: не должно принимать ихъ.

g) Περὶ τῶν βαθμῶν τῆς συγγενείας σύγγραμμα Μιχαὴλ νομοφύλακος τοῦ Χούμνου, τοῦ γεγονότος μητροπολίτου Θεσσαλονίκης:—

Ἡ συγγένεια ὄνομά ἐστι κοινὸν ... συγγενείας εὑρίσκεσθαι:—

h) лл. 404^b—406^a Περὶ μνηστείας καὶ ὅτι οὐδέν ἐστι γάμου τε καὶ μνηστείας διάφορον εἰς σύστασιν τοῦ θεμιτοῦ καὶ ἐννόμου:— μηνὶ ἀπριλλίῳ κϛ′ ἔτους ,ϛφοδ′.

При вселенскомъ патріархѣ Іоаннѣ. Съ нимъ засѣдали архіепископы Готѳійскій и Идрунтскій.

i) Τοῦ σοφωτάτου καὶ ὑπάτου τῶν φιλοσόφων Ἰωάννου τοῦ Πεδιασίμου σύνταγμα περὶ γάμων κεκωλυμένων καὶ ἀκωλύτων:— (14 вѣка)

k) Περὶ μνηστείας συνοδικὴ σωμείωσις μηνὶ μαρτίῳ ιθ′ ἔτους ,ϛφοε′.

Тутъ засѣдалъ тотъ же Готѳскій.

(Все).

№ 521 (**1706**).

Въ библіотекѣ Синаеджуванійскаго подворья въ Капрѣ.

Συλλογὴ ἀπολογιῶν κατὰ τῶν Λατίνων, на бумагѣ [тетради α′—ιθ′ и α′—] in 4⁰ [233×173] въ началѣ XVII вѣка [скорѣе всего, въ XVI вѣкѣ двумя писцами.]

1) Ἀπὸ τῆς πρώτης συνεισφορᾶς τοῦ πανιερωτάτου μητροπολίτου τῆς Θεσσαλονίκης κυροῦ Βασιλείου πρὸς τὸν ἀπὸ Ἰταλίας ἀρχιεπίσκοπον.

Это — два разговора Грека и Латинника.

Ὁ Λατῖνος: Εὔχομαι γενέσθαι τὴν ἕνωσιν τῶν ἐκκλησιῶν, καὶ ἅμα παραδοῦναί μου τὴν ψυχὴν τῷ θεῷ.

Γραικός: Ὁ τεθεὶς ἐν Σιὼν λίθος τοῖς μὲν ἀπειθοῦσιν ὢν πρόσκομμα ..

[затѣмъ есть и Ἀπὸ τῆς δευτέρας συνεισφορᾶς:—

Ὁ Λατῖνος. Διὰ τοῦτο πάλιν παρεγενόμεθα σήμερον...]

2) Θεοφυλάκτου Βουλγαρίας προσλαλιά τινὶ τῶν αὐτοῦ ὁμιλητῶν περὶ ὧν ἐγκαλοῦνται Λατῖνοι:—

Εἰσῆλθε τὸ ἀξίωμά σου ἐνώπιόν μου, εὐλαβέστατέ μοι ἐν Κυρίῳ υἱέ· καὶ κατενοήσαμεν αὐτὸ καὶ ὀφθαλμῶν ἀρχιερατικῶν ἄξιον...

3) Λόγοι διάφοροι τοῦ ἀρχιεπισκόπου καὶ μητροπολίτου Θεσσαλονίκης κυροῦ Νικήτα, τοῦ τοῦ (!) Μαρωνείας περὶ τῆς τοῦ ἁγίου πνεύματος ἐκπορεύσεως:—

Λόγος α′: Ὁ μὲν σκοπὸς τοῦ λόγου ζήτησις καὶ συνεξέτασις περὶ τῆς τοῦ ἁγίου πνεύματος ἐκπορεύσεως ...

Это разговоръ Латинника и Грека.

Λόγος β′: [Περὶ τῆς τοῦ ἁγίου πνεύματος ἐκπορεύσεως:—] въ видѣ длиннаго разговора тѣхъ же лицъ:

Λατῖνος: Ἐπηγγείλαμεν ἔναγχος ὦ Γραικὲ πολλά τινα ἄτοπα δεῖξαι παρομαρτοῦντα τῷ ἡμετέρῳ περὶ τῆς τοῦ ἁγίου πνεύματος ἐκπορεύσεως δόγματι...

Λόγος γ′: [Περὶ τῆς τοῦ ἁγίου πνεύματος ἐκπορεύσεως:—] въ видѣ подобнаго разговора:

Γραικός: Ἔτι ταύτην ἀρχὴν καὶ αὖθις τιθέμενος...

Λόγος δ′: Περὶ τῆς τοῦ ἁγίου πνεύματος ἐκπορεύσεως:—

Ὁ Γραικός: Φέρε δὴ νῦν ἴδωμεν ὦ Λατῖνε...

Λόγος ε′: Περὶ τῆς τοῦ ἁγίου πνεύματος ἐκπορεύσεως:—

Ὁ Γραικός: Λοιπόν, εἴ τις λόγος ἕτερος ὦ Λατῖνε ...

4) Εὐθυμίου μοναχοῦ τοῦ Ζιγαβηνοῦ κεφάλαια ιβ′, ὅτι ἐκ τοῦ πατρὸς μόνου ἐκπορεύεται τὸ πνεῦμα τὸ ἅγιον.

α′. Εἰ ἁπλοῦν μὲν τὸ πνεῦμα· ἐκ τοῦ πατρὸς δὲ καὶ τοῦ υἱοῦ ἐκπορεύεται· πάντως ἓν οὗτοι νομισθεῖεν ἂν πρόσωπον. κἀντεῦθεν εἰσαχθήσεται συναλοιφῇ Σαβέλλιος, ἢ μᾶλλον ἡμισαβέλλειος.

β′. Εἴπερ ἐκ τοῦ πατρὸς καὶ τοῦ υἱοῦ ἐκπορεύεται τὸ πνεῦμα τὸ ἅγιον, διπλοῦν ἂν εἴη τοῦτο καὶ σύνθετον.

γ′. Εἰ πρὸς δύο ἀρχὰς ἀναχθήσεται τὸ πνεῦμα τὸ ἅγιον, ποῦ τὸ πολυύμνητον ἔσται τῆς μοναρχίας;

δ′. Εἰ προβάλλεται μὲν ὁ πατὴρ τὸ πνεῦμα· προβάλ-

λεται δὲ τοῦτο καὶ ὁ υἱός· εἴη ἂν ὁ πατὴρ καὶ προσεχὴς τοῦ πνεύματος προβολεύς, καὶ πόρρω διὰ τὴν ἐκ τοῦ υἱοῦ προβολήν.

ε΄. Εἴπερ ἡ ἐκ τοῦ πατρὸς ἐκπόρευσις τοῦ ἁγίου πνεύματος ἐντελής, περιττὴ ἄρα ἡ ἐκ τοῦ υἱοῦ.

И т. д.

5) Νικήτα τοῦ Σεΐδου, ὃς ἦν ἐν τοῖς χρόνοις Ἀλεξίου βασιλέως τοῦ Κομνηνοῦ· ἐφ' οὗ καὶ οἱ Λατῖνοι κατὰ τὴν Κωνσταντινούπολιν ἦλθον, ἐπισκόπους μεθ' ἑαυτοὺς ἔχοντες, ὧν εἷς ἦν καὶ ὁ Μεδιολάνων ᾀδόμενος ἐπὶ λόγων ἰσχύϊ, λόγος σχεδιασθεὶς πρὸς Ῥωμαίους, καὶ δύο ταῦτα ἀποδεικνύων· ὅτι αἰδεσιμώτερα τὰ νέα τῶν παλαιῶν, καὶ ὅτι ἐκ τοῦ πατρὸς μόνου, οὐχὶ δὲ καὶ ἐκ τοῦ υἱοῦ, ὡς αὐτοὶ λέγουσιν, ἐκπορεύεται τὸ πνεῦμα τὸ ἅγιον. Ἐγράφη δὲ ὁ λόγος οὗτος ἐν Κωνσταντινουπόλει, ὅτε ἐνεδήμει ταύτῃ ὁ ῥηθεὶς ἐπίσκοπος Λατῖνος, ἐν ἔτει ͵ϛχκ΄:—[1]) (1112 году)

Πολλὰ μέν, ὦ ἄνδρες Ῥωμαῖοι, τὰ διϊστῶντα ὑμᾶς ἀφ' ἡμῶν, καὶ πάντα παράνομα. Τρία δὲ τῶν ἄλλων παρανομώτερα. Καὶ ἵνα τ' ἄλλα παρήσω διὰ τὸ πλῆθος καὶ ἅμα μηδὲ βλάβην πρὸς τὴν ἕνωσιν ποιοῦντα τοσαύτην, καίπερ ὄντα βλαβερά, περὶ τούτων ὑμῖν ὡς οἷόν τε διὰ βραχέων ἀδελφικῶς διαλέξομαι. Φέρε οὖν, εἰ δοκεῖ καὶ ὑμῖν, σκοπήσωμεν εἰρηνικῶς καὶ ἀμάχως· πότε, καὶ πῶς, καὶ δι' ἃ κακῶς διεσχίσθημεν ἀπ' ἀλλήλων, ἓν σῶμα πρότερον ὄντες. . . (Весьма длинно.)

6) Γεωργίου ἐλαχίστου διακόνου λόγος εἰς τὴν παρουσίαν τοῦ παναγίου πνεύματος ὅτε κατὰ τὴν πεντηκοστὴν ἐπεδήμησε τοῖς ἀποστόλοις, καὶ ἀνατροπὴ τῶν κεφαλαίων τῶν δογματιζόντων· ἐκ τοῦ υἱοῦ ἐκπορεύεται τὸ πνεῦμα τὸ ἅγιον, καὶ οὐκ ἐκ τοῦ πατρὸς προσεχῶς καὶ ἀμέσως.

Πάλιν ἐπιδημία θεοῦ καὶ πάλιν ἡμῖν ἑορτῶν ἑορτή. Καὶ τὸ τῆς ἐκκλησίας ἅπαν καταφαιδρύνεται πλήρωμα. . (На 31 полулистѣ.)

[[1]) другой рукой помѣтка: ἕως τὴν σήμερον χρόνοι 511.]

7) Νικήτα μονάζοντος καὶ πρεσβυτέρου μονῆς τῶν Στουδίων τοῦ Στηθάτου Ῥωμαίοις περὶ ἀζύμων καὶ σαββάτων νηστείας καὶ γάμων ἱερέων:—

Καλὸν ἡ πρὸς τὸν πλησίον ἀγάπη, ὦ πάντων ἐθνῶν σοφώτατοι Ῥωμαῖοι καὶ εὐγενέστατοι· ἐκ γὰρ τοῦ ἔχειν πρὸς τὸν πλησίον ἀγάπην, καὶ ἡ ταπείνωσις πρὸς τὸν ἔχοντα αὐτὴν πλεονάζει... (на 9-ти полулистахъ)

8) Τὰ τῶν Φραγγῶν παραρτήματα καὶ σχίσματα:—

Καὶ ἃ μὲν ἰουδαΐζοντες οἱ Ῥωμαῖοι, εἰσὶ ταῦτα· τὸ τῶν ἀζύμων ἔγκλημα. τὰ πνικτὰ ἐσθίουσι. ξυρῶνται... τὸ ἄζυμον παρελάβομεν:

9) Объ исхожденіи Св. Духа и, противъ другихъ католическихъ догматовъ собраніе выписокъ изъ оо. и учитт. церкви. (на 14 лл.)

10) Μηνὶ δεκεβρίῳ ιβʹ μνήμη τοῦ ὁσίου καὶ ἀειμνήστου Δονάλεντος, ἐν τῷ ἁγίῳ καὶ ἀγγελικῷ σχήματι ἐπονομασθέντος Στεφάνου:— (на 2 лл.)

Οὗτος ἦρξε τῆς ἑαυτοῦ χώρας πρὸς χρόνων τινῶν· ἔφθασε δὲ ἕως τῆς βασιλείας Κωνσταντίνου καὶ Ῥωμανοῦ...

Въ царствованіе Константина и Романа, порфирородныхъ, онъ жилъ на островѣ Ниве́ртѣ, или Фе́рѳи, близъ Гадиръ = Γαδείρων (Гибралтар. пролив.), былъ христіанинъ и князь сего острова, ходилъ въ Римъ на поклоненіе Петру и Павлу въ дни папы Агапита, оттуда въ Іерусалимъ, гдѣ и постриженъ былъ въ большую схиму архіереемъ Христодуломъ и переименованъ Стефаномъ; оттуда ходилъ въ Египетъ, и тамъ замученъ магометанами.

11) Τῷ τρισμεγίστῳ καὶ ὑπερπανυψηλοτάτῳ ἐν Χριστῷ τῷ θεῷ πιστῷ βασιλεῖ τῷ αὐτοκράτορι τῶν Ῥωμαίων κυρῷ Ἀνδρονίκῳ Κομνηνῷ Δούκᾳ Ἀγγέλῳ τῷ Παλαιολόγῳ Σίμων ὁ Κωνσταντινουπολίτης, ὁ ἐκ τῆς τάξεως τῶν Κηρύκων εὐχέτης τῆς ἁγίας σου βασιλείας νίκος κατ' ἐχθρῶν καὶ διαμονὴν κατ' εὐδοκίαν θεοῦ εἰς σωτηρίαν βασιλείας καὶ τὴν ἐκ τοῦ καλοῦ εἰς τὸ βέλτιον τῶν θείων προβίβασιν ἐντολῶν:—

> Ἐπειδήπερ τινές, ὧν οἱ μὲν ἐξ ἀγνοίας νομίζουσιν, οἱ δὲ ἐκ κακίας λέγουσιν, ὡς τὸ σχίσμα τὸ μεταξὺ τῶν τοῦ θεοῦ ἐκκλησιῶν γέγονεν ἕνεκεν τῆς θεοστόμου ἐκείνης θεολογίας τοῦ σωτῆρος ἡμῶν τῆς λεγούσης· τὸ πνεῦμα παρὰ πατρὸς ἐκπορεύεται· ἔδοξέ μοι εἰς ἔνδειξιν τοῖς τοιουτοτρόπου αὐτῶν ὑπολήψεως γνωρίσαι εὐσυνόπτως δι' ὀλίγων τῇ ἁγίᾳ βασιλείᾳ σου, κράτιστε βασιλεῦ, ὅτι οὐκ ἕνεκεν αὐτῆς, ὡς εἰ ἐκ τοῦ θεολογεῖσθαι τὸ πνεῦμα ἐκ τοῦ υἱοῦ ἀθετεῖται ἡ ἐκ τοῦ πατρὸς αὐτοῦ θεία ἐκπόρευσις, ὡς φασὶ...

Этотъ Симонъ писалъ сіе разсужденіе въ защиту Латинскаго ученія объ исхожденіи Духа св. и отъ Сына. Curieux!

12) Τῷ ὑπερπανυψηλοτάτῳ τῷ τρισμεγίστῳ βασιλεῖ τῶν Ῥωμαίων κυρῷ Ἀνδρονίκῳ Κομνηνῷ Ἀγγέλῳ Δούκα τῷ Παλαιολόγῳ, φρὰρ Ἰάκωβος τῆς τάξεως τῶν ἀδελφῶν τῶν Κηρύκων, ξένος μὲν διὰ Χριστόν, ἀνάξιος δὲ δοῦλος τῶν ἀδελφῶν ἐκείνων τῶν παροικούντων ἐν τοῖς τοιοῖσδε μέρεσιν, ὡς αὐτός, διὰ Χριστὸν τὸν σωτῆρα ἡμῶν ἐν τῷ τοιῷδε τοῦ ἀνάρχου πατρὸς ἐκ τῆς θεομήτορος τῆς ἀειπαρθένου υἱῷ τῷ θεανθρώπῳ σωτῆρι ἡμῶν ἀεὶ χαίρειν, καὶ κατὰ τῶν ἐχθρῶν τοῦ τιμίου σταυροῦ κραταιᾷ χειρὶ τροπαιουχεῖν:

> Ἐπειδὴ πλειόνων χριστιανῶν δόξα δοκεῖ εἶναι ὡς χωρὶς τῆς ὁμολογίας τῆς τοῦ ἁγίου πνεύματος ἐκπορεύσεως παρὰ τοῦ υἱοῦ, καθάπερ καὶ αὐτοῦ τοῦ πατρός, καὶ ἐκτὸς τῆς ὑπακοῆς τῆς Ῥωμαϊκῆς ἐκκλησίας δύναται ἕκαστος αἰωνίου ζωῆς καὶ δόξης διηνεκοῦς μέτοχος γενέσθαι καὶ κληρονόμος. Διὰ τοῦτο ἵνα μὴ συμβαίνῃ τοὺς τοιούσδε οὕτω ἐπικινδύνως πλανᾶσθαι· τὰ ἅπερ διὰ τῶν ἁγίων διδασκάλων τῆς τῶν Γραικῶν ἐκκλησίας καὶ τῆς τῶν Ἰταλῶν δοκίμων ἁγίων εὗρον, τῇ μεγαλειότητι τῆς βασιλείας σου διὰ τῆς παρούσης ἐπιστολῆς γνωρίσαι ἐσπούδαξα· καὶ ὅτι μὲν τὸ πνεῦμα τὸ ἅγιον ἐκ πατρὸς καὶ υἱοῦ εἶναι πιστεύειν δεῖ, ἐξ ἀνάγκης πίστεώς τε καὶ σωτηριότητος πρόδηλον. ἐξ ὧν ὁ τῶν Ἀλεξαν-

δρέων μέγας Ἀθανάσιος ἐν τῇ ἐπιστολῇ πρὸς Σεραπίωνα γράφων, ἐκείνῳ λέγει... ἀμήν:—

C'est curieux!

Усталъ я!! Утомился!

5 февраля 1861 года.

№ 522 (**1140**).

Въ той же библіотекѣ.

На бумагѣ in 8⁰ [172×125; 100×65 XVI—]XVII вѣка рукопись.

[(заст.) Τοῦ σοφωτάτου Μάρκου μητροπολίτου Ἐφέσου: + Τοῖς ἁπανταχοῦ τῆς γῆς καὶ τῶν νήσων εὑρισκομένοις ὀρθοδόξοις χριστιανοῖς Μάρκος ἐπίσκοπος τῆς Ἐφεσίων μητροπόλεως ἐν κυρίῳ χαίρειν:—] Ἀπολογία Γρηγορίου ἱερομονάχου καὶ πνευματικοῦ, τοῦ μεγάλου πρωτοσυγγέλου, τοῦ ὕστερον χρηματήσαντος πατριάρχου, καὶ ἐν Ῥώμῃ ταφέντος καὶ θαυματουργοῦντος, εἰς τὴν τοῦ Ἐφεσίου (т. е. Μάρκου) ἐπιστολὴν ἐκ διαφόρων ἁγίων. (На полѣ первой страницы другою рукою приписано: ἐχθροδῶς ἀεὶ φερόμενος οὗτος (т. е. Γρηγόριος) κατὰ τοῦ Ἐφέσου ἐξ οὗ τοποτηρητὴς ὁ Ἐφέσου τῶν δύο πατριαρχῶν ἐγένετο, ἀεὶ ἐπιβούλευεν αὐτῷ καὶ νῦν οὗτος καὶ οὐκ ἄλλος τις τὸν κατ' αὐτοῦ ἀγῶνα ἀνεδύσατο. На оборотѣ той же страницы тою же рукою: δοκεῖ, πῶς ὁ γράψας τὸ βιβλίον, λατινόφρων εἶναι θαυματουργὸν γάρ φησι τὸν Γρηγόριον ἄνδρα λατινόφρονα, καὶ ὕπουλον καὶ πανοῦργον γεγονότα, καὶ πολλάκις πρὸς θάνατον ἐπιβουλεύσαντα τῷ Ἐφέσου, ὡς ἱστορεῖ ὁ Συρόπουλος Σίλβεστρος καὶ μέγας ἐκκλησιάρχης)

Τὸ μὲν προοίμιον τοῦ αἰδεσίμου Ἐφέσου τοὺς ἁπανταχοῦ γῆς καὶ τῶν νήσων πρὸς ἀκρόασιν τῶν αὐτῶν διεγείρει. Ἡμεῖς δὲ πάλιν τοῖς κατοικοῦσι πάντα γῆς τὰ πέρατα φαμὲν ἀκροᾶσθαι τῶν αὐτοῦ λογίων πρῶτον, εἶτα τῶν ἡμετέρων. Διὰ τοῦτο γὰρ καὶ προτίθεμεν τὰ αὐτοῦ πρῶτον, εἶτα τὰς ἡμετέρας ἐπάγομεν ἀπολογίας, ἵνα ἡ ἀλήθεια τοῖς πᾶσι φανερὰ γένηται...

Въ самомъ дѣлѣ, въ этой рукописи слова Марка Ефесскаго цѣлыми отдѣлами, и потомъ возраженія противъ нихъ Григорія и его апологія. C'est curieux!

[Есть и запись писца:

Ἰησοῦ Χριστῷ τῷ ἐσταυρωμένῳ τῷ ἀρχὴ καὶ τέλος ὑπάρχοντι τῆς (не дописано)]

5 февр. 1861 г.

№ 523 (1771).

Въ той же библіотекѣ.

Рукопись на простой бумагѣ in 4⁰ [215×168], XVIII вѣка.

Παπομάστιξ, δι' ἧς ὁ πάπας Ῥώμης καὶ οἱ περὶ αὐτὸν μαστιγοῦνται ἤτοι ἐπιτομὴ καταγγελίας πανδήμου, δι' ἧς ἐνώπιον τῆς παγκοσμίου ἐκκλησίας καταστηλιτεύεται ὁ πάπας καὶ ἡ παπικὴ αὐλή, ὡς τῆς ἐκκλησίας αὐτῆς καὶ παντὸς νόμου θείου τε καὶ ἀνθρωπίνου ἀνατραπεὶς, συγγραφεῖσα ὑπὸ Πέτρου Κλερκίου τοῦ Γάλλου, ὑποδιακόνου τῆς Ῥοθομαγνησίας ἐκκλησίας, καὶ διὰ Παρισιακοῦ προνομίου τῶν ἐγκυκλίων παιδευμάτων διδασκάλου, ἐκ τῆς Γαλλικῆς διαλέκτου εἰς τὴν κοινὴν τῶν Γραικῶν μεθερμηνευθεῖσα μετὰ καί τινων σημειωμάτων καὶ ἐπιστολῶν παρ' αὐτοῦ τε καὶ πρὸς αὐτὸν γεγραμμένων:—

Этотъ переводъ Никифоръ Θеотоки возвратилъ Іакову по почтѣ при семъ письмѣ, находящемся въ концѣ этой рукописи:

Ἡ παροῦσα ἐπιστολὴ ὑπάρχει τοῦ πρώην Ἀστραχανίου κυρίου Νικηφόρου τοῦ Θεοτόκη, ἣν ἀπέστειλε τῷ ἐν Κιέβῳ ἀρχιμανδρίτῃ κυρ Ἰακώβῳ Σιναΐτῃ.

Τῇ αἰδεσιμοτάτῃ καὶ προσφιλεστάτῃ κορυφῇ σου νοερὰν εὐχετικὴν περίπτυξιν.

«Τῇ ἀξιώσει σου εἴξας τὸ ἐν χεροῖν μοι καταλιπὼν ἔργον, ὅλην ἀνέγνων τὴν Παπομάστιγα, [ ] τὴν τοῦ Κλερκίου τοῦ Γάλλου μεταφρασθεῖσαν ἐπιτομήν. Περιέχει δ' αὐτὴ καί τινα κἂν ἄλλοις κείμενα συγγράμμασιν ἀξιόλογα, ἐν πολλῇ ὅμως περιττο-

λογίᾳ καὶ ταυτολογίᾳ ἄχρις ἀηδίας, ἵνα μὴ καὶ ναυτίας εἰπῶ, πάθει σφοδρῷ καὶ φορᾷ δρυμείᾳ ἐκπεφρασμένα, μὴ οἰκοδομοῦντα καταργοῦντα δὲ μᾶλλον καὶ ἐνοχλοῦντα τὸν ἀναγινώσκοντα. Οὐ γὰρ καταφοραὶ καὶ ὕβρεις ἐκκόρως ἐπαναλαμβανόμεναι, ἀλλ' αἱ ἀποδείξεις, καὶ αἱ τῆς ἀληθείας ἐκθέσεις τῆς ἀληθείας τὴν ἰσχὺν καταυγάζουσι καὶ πείθουσι τὸν νοῦν ἀποχρόντως. Οὐ μέντοι διὰ ταῦτα τύπου μὴ ἀξίαν οἶμαι ἔγωγε τὴν βίβλον τὰ ἐλαττώματα, ἀλλὰ δι' ὅσα ἐφεξῆς καταλέγω:—

α') οὐκ ὀλίγα περιέχει ἀλλόκοτα καὶ ξένα τῆς ὀρθοδοξίας φρονήματα.

Ταῦτα ἐν Μόσχβᾳ. ἔτει 1794 αὐγούστου 13.

Ἡ τοῦ φίλου καὶ εὐχέτου γνωστή σοι χεῖρ.

№ 524 (1824).

Тамъ же.

Рукопись на бумагѣ in 8°. Почеркъ — дурной.

[1) Πωρικολόγος (безъ особаго заглавія):

Βασιλεύοντος τοῦ πανενδοξοτάτου κυδωνίου καὶ ἡγεμονεύοντος τοῦ περιβλέπτου κύτρου... εἰς πολλὰ ἔτη δέσποτα:—]

2) Ἐγχειρίδιον συντεθὲν εἰς φρᾶσιν πεζὴν παρὰ τοῦ σοφωτάτου ἱερομονάχου Μαξίμου τοῦ Πελοποννησίου, μαθητοῦ δὲ τοῦ ἀοιδίμου πάπα Ἀλεξανδρείας Μελετίου τοῦ Πηγᾶ, περὶ τῆς νεωτερισθείσης ἀρχῆς τοῦ πάπα περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου πνεύματος, περὶ ἀζύμων, περὶ μεταβολῆς καὶ τῆς μετουσιώσεως τῶν μυστηρίων, περὶ τοῦ καθαρτηρίου πυρός, περὶ ἀπολαύσεως τῶν δικαίων τουτέστι ἀνέλαβον ἐπαγγελίαν:—

Προοίμιον:

Πρέπον καὶ δίκαιον κατὰ ἀλήθειαν...

3) Запись:

τέλος καὶ τῷ θεῷ δόξα.

+ Χεὶρ Παγκρατίου μοναχοῦ Σιναΐτου τοῦ Κυπρέως ἐκ πόλεως Κωνσταντίας τῆς Κύπρου 1737 ὀκτωβρίου ις'.

Παγκρατίου Ταυρομενίας·

[4) Есть и двѣ приписки: первая за текстомъ Πωρικολόγος гласитъ

+ αψμβ' μαΐῳ ιε' ὁ γράψας Γαλακτίων ἱερομόναχος ἦλθα ἀπὸ τὴν Κύπρον εἰς τὸ Ταμυηάθην καὶ ἦχεν αὐτοῦ πανούκλου. καὶ ἦλθα εἰς τὸ Μυσήριν καὶ ἦχεν καὶ αὐτοῦ· καὶ ἔστω εἰς ἀνάμνησιν:—

а вторая въ концѣ книги

+ Τὸ παρὸν ὑπάρχει Παγκρατίου μοναχοῦ Σιναΐτου τοῦ Κυπρίου καὶ ἰδιόχειρόν του εἶναι ἐκ πολλοῦ πόθου. 1743 ἀπριλλίου. Γαλακτίου ἱερομονάχου Κυπρίου.]

№ 525 (1144).

Въ Джуванійской библіотекѣ.

Рукопись на бумагѣ [лл. 141, по 22 строки *A*] in 4° [197×144; 136×80]; XV вѣка.

Съ л. 1ª (заст.) Δογματικὸν τοῦ μακαρίτου Ἰωάννου Βέκου πατριάρχου Κωνσταντινουπόλεως: —

Ἂν λέγουσι τινές, πεπλανημένας ἀρχὰς εἶναι, τῶν ἀντιλεγόντων Λατίνοις:—

Ἡ λέγουσα· ἴδιον τοῦ πατρὸς εἶναι προβάλλειν τὸ πνεῦμα τὸ ἅγιον:

Ἡ λέγουσα· πᾶν τὸ ἐπὶ τῆς τριάδος λεγόμενον ἢ ἑνὸς ἐστίν, ἢ τῶν τριῶν;

Ἡ λέγουσα· πᾶν τὸ ἐπὶ τῶν θεαρχικῶν λεγόμενον ὑποστάσεων, ἢ ὑποστατικὸν ἐστιν, ἢ φυσικόν:

Ἡ τὸν πατέρα αἴτιον εἶναι τῶν ἐξ αὐτοῦ φάσκουσα τῷ λόγῳ τῆς ὑποστάσεως καὶ οὐχὶ τῆς φύσεως:

Ἡ προσεχῶς καὶ ἀμέσως εἶναι λέγουσα, τὸ πνεῦμα ἐκ τοῦ θεοῦ καὶ πατρός:

Τοῦ μεγάλου Βασιλείου ἐκ τῆς εἰς τὸν προφήτην Ἡσαΐαν ἐξηγέσεως:

Τεῖχος ἐστὶ τοῖς δόγμασιν, ἡ τῆς θύραθεν ἐπιστήμης δύναμις οὐκ ἐῶσα τοῖς βουλομένοις αὐτά, εὐάλωτά τε καὶ εὐδιάρπαστα γίνεσθαι:

Τοῦ ἁγίου Μαξίμου:

Δίχα λογικῆς δυνάμεως ἐπιστημονικὴ γνῶσις οὐκ ἔστι·
καὶ γνώσεως χωρὶς οὐ συνίσταται πίστις.

Драгоцѣнный сборникъ отеческихъ изреченій о св. Духѣ! [На послѣднемъ мѣстѣ находится посланіе трехъ православныхъ восточныхъ патріарховъ къ патріарху Константинопольскому Тарасію, оканчивающееся словами: θεοστεφεῖς, τροπαιοῦχοι καὶ δεσποται τῆς οἰκουμένης... *А*]

[Съ записью:

+ τῷ συντελεστῇ τῶν καλῶν θεῷ χάρις:—
+ Θεοῦ διδόντος οὐδὲν ἰσχύει φθόνος καὶ μὴ διδόντος οὐδὲν ἰσχύει πόνος. τέλος.]

№ 526 (**1788**).

Тамъ же.

Συλλογὴ διαφόρων. Рукопись на бумагѣ in 4^{0}, XVIII вѣка. Тутъ замѣчательны:

[1) Письмо Максима Маргунія:

Μάρκῳ τῷ Παπαδοπούλῳ ἀνδρὶ εὐγενεστάτῳ Μάξιμος ὁ Μαργούνιος ταπεινὸς ἐπίσκοπος Κυθήρων εὖ πράττειν.

Περὶ ἀρετῆς τῆς τε κατὰ διάνοιαν... καὶ προσφιλέστατε:—

2) Ἀνδρονίκου φιλοσόφου περιπαθητικοῦ περὶ παθῶν:—

Πάθος ἐστὶν ἄλογος ψυχῆς κίνησις... ἀμήν:—]

3) Τοῦ ἁγιωτάτου πατρὸς ἡμῶν Μάρκου ἀρχιεπισκόπου Ἐφέσου, τοῦ νέου θεολόγου, συλλογιστικὰ κεφάλαια πρὸς Λατίνους:—

Α΄. Τὸ πνεῦμα τὸ ἅγιον ἐκ πατρὸς καὶ υἱοῦ ἐκπορευόμενον ἢ ὡς ἐκ δύο ὑποστάσεων πρόεισιν, ἢ ὡς ἐκ τῆς κοινῆς αὐτῶν φύσεως, ἢ ὡς ἐκ τῆς προβλητικῆς δυνάμεως. Ἀλλ' εἰ μὲν ὡς ἐκ δύο ὑποστάσεων, δύο ἀρχαὶ προδήλως, καὶ δύο τὰ αἴτια ἐπὶ τῆς θείας τριάδος, καὶ δύο οἱ προσβολεῖς, καὶ ἡ μοναρχία ἀνήρηται, καὶ τὸ μόνην εἶναι πηγὴν τῆς ὑπερθέου θεότητος τὸν πατέρα. Εἰ δ' ὡς ἐκ τῆς κοινῆς αὐτῶν φύσεως, πρῶτον

μὲν οὐδέπω καὶ νῦν ἤκουσται δυοῖν ὑποστάσεων ἑτέραν ἐκπεφυκυῖαν ὑπόστασιν, μὴ ἐξ αἰτιῶν εἶναι λέγειν, ἀλλ' ἐκ τῆς κοινῆς φύσεως...

[всего 56 главъ.

4) Μάρκου Ἐφέσου τοῦ Εὐγενικοῦ κεφάλαια συλλογιστικὰ τῆς αἱρέσεως τῶν Ἀκινδυνιαστῶν περὶ διακρίσεως θείας οὐσίας καὶ ἐνεργείας:—

въ 66 главахъ.

5) Τροπάριον τοῦ ἁγίου ἦχος β'.

6) Запись:

Μέμνησθε οἱ ἀναγινώσκοντες τοῦ γράψαντος Ἀναστασίου ἱεροδιακόνου τοῦ ἐκ Κρήτης καὶ ἐκ τῆς μονῆς τοῦ Σιναίου, ἐν ταῖς πρὸς τὸν Κύριον ἡμῶν ἐντεύξεσι:—

7) Ἐκ τῆς βίβλου τοῦ ἁγίου Ἱερωνύμου:—

Διονύσιος τῆς κατὰ Κόρινθον ἐπίσκοπος ... ἐπὶ Κωνσταντίνου καὶ τῶν τούτου παίδων βασιλευόντων:—]

8) Ἐγχειρίδιον Μελετίου πρωτοσυγγέλου Ἀλεξανδρείας ͵αφπγ' ἔτους. Большая рукопись.

Τὰ τοῦ διαλόγου πρόσωπα, διδάσκαλος καὶ μαθητής.

Ἐκ διαφόρων θεολόγων.

Διδάσκαλος: Τῶν τῆς ἐκκλησίας φροντίδων...

№ 526ª (**2022**).

Тамъ же.

Рукопись на бумагѣ in 4⁰, XVII вѣка.

Τοῦ λογιωτάτου Εὐστρατίου Ἀργέντου Χίου περὶ τοῦ κυριακοῦ δείπνου κατὰ Λατίνων τμῆμα πρῶτον καὶ δεύτερον, въ двухъ книгахъ. Περὶ ἁγιασμοῦ τοῦ μυστηρίου.

Ἐπειδήπερ ὁ ἁγιασμὸς τοῦ κυριακοῦ δείπνου...

[Съ помѣткой писца-владѣльца:

Κτῆμα Ἡσαΐου ἱερομονάχου Σιναΐτου:—

На самомъ дѣлѣ въ этой рукописи есть только τμῆμα δεύτερον· περὶ ἁγιασμοῦ τοῦ μυστηρίου. Начало трактата содержитъ

№ 526[b] (**2021**)

(218×167) подъ заглавіемъ:

Τοῦ λογιωτάτου κυρίου Εὐστρατίου Χίου Ἀργέντου κατὰ Λατίνων περὶ τοῦ κυριακοῦ δείπνου τοῦ εἰς τρία τμήματα διῃρημένου συγγράμματος τμῆμα πρῶτον. περὶ τῆς ὕλης τοῦ μυστηρίου.

А окончаніе трактата въ

№ 526[c] (**2023**)

подъ заглавіемъ:

Εὐστρατίου Ἀργέντου Χίου περὶ τοῦ κυριακοῦ δείπνου τμῆμα γ'.

Запись:

Βίβλον ἐν τρισὶ τμήμασι φαινομένην διδασκαλίαν τοῦ κυριακοῦ δείπνου ἐκτιθεὶς Εὐστράτιος Ἀργέντης κακοδοξίαν τῶν παπιστῶν ἐλέγχει:—

Помѣтка:

κτῆμα Ἡσαΐου ἱερομονάχου Σιναΐτου.]

№ 527 (**1736**).

Тамъ же.

На бумагѣ in 4°.

1) Ἱστορία τοῦ σχίσματος τῶν δύο ἐκκλησιῶν, ἀνατολικῆς τε καὶ δυτικῆς, συγγραφεῖσα παρὰ τοῦ θεοφιλεστάτου ἐπισκόπου κυρίου καὶ λογιωτάτου ἱεροδιδασκάλου Ἡλιοῦ Μηνιάτη, τοῦ ἐκ Κεφαληνίας, Κερνίκης δὲ προέδρου.

Ἐζήτησας παρ' ἐμοῦ, ἄρχων ἐνδοξότατε καὶ εὐσεβέστατε, νὰ μάθῃς καταλεπτῶς· τί εἶναι ἐκεῖνο, ὁποῦ χωρίζει τὰς δύο ἐκκλησίας...

Въ этой же рукописи:

2) Περὶ τῆς σατανικῆς αἱρέσεως τῶν κακοδόξων Ἀρμενίων καὶ τῶν ἐναγκῶν νηστειῶν αὐτῶν καὶ περὶ τῶν αἱρέσεων ὧν ἔλαβον ἐκ τοῦ βασιλέως τῶν Περσῶν Χοσρόη τοῦ λεγομένου Βραμπάσου καὶ τῶν ἑπτὰ ἑβδομάδων τῶν φυλασσομένων τοῦ ὅλου ἐνιαυτοῦ:—

Μετὰ τὸ διαχωρισθῆναι τὸ γένος τῶν κακοδόξων Ἀρμενίων ἀπὸ τοὺς Ῥωμαίους ἐν τῇ ἁγίᾳ καὶ μεγάλῃ τετάρτῃ συνόδῳ...

№ 528 (2015).
Тамъ же.

На бумагѣ in 4⁰ [229×172; 153×98, по 22 строки] XVI вѣка.

1) Τοῦ σοφωτάτου κυρίου Νικολάου τοῦ Καβασίλα περὶ τῆς ἐν Χριστῷ ζωῆς: —

Περὶ τῆς ἐν Χριστῷ ζωῆς. Λόγος α'. — Ὅτι διὰ τῶν θείων συνίσταται μυστηρίων τοῦ βαπτίσματος, τοῦ μύρου καὶ τῆς ἱερᾶς κοινωνίας.

Ἡ ἐν Χριστῷ ζωὴ φύεται μὲν ἐν τῷδε τῷ βίῳ, καὶ τὰς ἀρχὰς ἐντεῦθεν λαμβάνει· τελειοῦται δὲ ἐπὶ τοῦ μέλλοντος, ἐπειδὰν εἰς ἐκείνην ἀφικώμεθα τὴν ἡμέραν. Καὶ οὔτε ὁ βίος οὗτος τελείως δύναται ταύτην ἐνθεῖναι ταῖς τῶν ἀνθρώπων ψυχαῖς, οὔτε ὁ μέλλων, μὴ τὰς ἀρχὰς ἐντεῦθεν λαβών...

Λόγος β'. — Τίνα συντέλειαν τὸ θεῖον αὐτῇ ζωῇ παρέχεται βάπτισμα.

Τὸ μὲν οὖν ἐν τοῖς ἱεροῖς μυστηρίοις τὴν ἱερὰν ζωὴν συνεστᾶναι ἀπὸ τῶν προτέρων δέδεικται λόγων. Ἕκαστον δὲ τῶν μυστηρίων, ὅπως εἰς τουτονὶ φέρει τὸν βίον, νυνὶ σκοπῶμεν. Ἔστι μὲν γὰρ ἡ ἐν τῷ Χριστῷ ζωὴ αὐτὸ τὸ συναφθῆναι Χριστῷ...

Περὶ τῆς ἐν Χριστῷ ζωῆς. Λόγος γ'· — Τίνα συντέλειαν αὐτῇ τὸ ἱερὸν παρέχεται μύρον.

Οὕτω δὲ πνευματικῶς συστάντας καὶ τούτου γεγενημένους τὸν τρόπον, καὶ ἐνεργείας ἀκόλουθον ἂν εἴη τυγχάνειν, ἣ τοιάδε γεννήσει προσήκει, καὶ κινήσεως καταλλήλου. Καὶ τοῦτο ἡμῖν ἡ τελετὴ τοῦ θειοτάτου δύναται μύρου...

Περὶ τῆς ἐν Χριστῷ ζωῆς. Λόγος δ'. — Τίνα συντέλειαν αὐτῇ δίδωσιν ἡ ἱερὰ κοινωνία.

Μετὰ δὲ τὸ μύρον, ἐπὶ τὴν τράπεζαν εἶμεν. Τοῦτο τῆς ζωῆς τὸ πέρας.

Περὶ τῆς ἐν Χριστῷ ζωῆς. Λόγος: πῶς αὐτὴν ἀπὸ τῶν μυστηρίων λαβόντες φυλάξωμεν.

Ἃ μὲν οὖν τῆς ἐν Χριστῷ ζωῆς εἰς αὐτὸν τὸν Χριστὸν ἀναφέρει, καὶ ὧν ἐκείνῳ μόνῳ προσῆκε, ταῦτα ἐστίν. Ἐπεὶ δὲ τὸ μὲν συστῆναι τὴν ζωὴν ἐξ ἀρχῆς, τῆς τοῦ σωτῆρος χειρὸς ἐξήρτηται μόνης, τό γε μὴν φυλάξαι παγεῖσαν καὶ μεῖναι ζῶντας, καὶ τῆς ἡμετέρας ἔργον σπουδῆς...

Въ этомъ длинномъ словѣ Кавасила разсуждаетъ и о девяти блаженствахъ.

2) Въ этой же рукописи:

Τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου κῦρ Φιλοθέου λόγος ἐγκωμιαστικὸς εἰς τοὺς ἐν ἁγίοις τρεῖς πατέρας ἡμῶν μεγάλους ἱεράρχας καὶ οἰκουμενικοὺς διδασκάλους Βασίλειον τὸν μέγαν, Γρηγόριον τὸν Θεολόγον καὶ Ἰωάννην τὸν Χρυσόστομον:—

Τοὺς διδασκάλους ἡμῶν ἐπαινέσωμεν· τοὺς πατέρας οἱ παῖδες κατὰ χρέος τιμήσωμεν· τοὺς τρεῖς φιλοσόφους καὶ σοφοὺς τῆς ἐκκλησίας καὶ ῥήτορας τὰ τέκνα τῆς ἐκκλησίας οἱ προσκηνυταὶ τῆς μεγάλης τριάδος κατὰ δύναμιν εὐφημήσωμεν... Слово — длинное!

3) Тутъ же:

Βίος τοῦ ἁγίου Ἰωάννου βασιλέως τοῦ Ἐλεήμονος.

Οἱ τοὺς ἀγαθοὺς καὶ σπουδαίους ἄνδρας ἐγκωμιάζοντες... μεγαλοφυΐαν:— Очень длинно.

4) Тутъ же:

Γεωργίου τοῦ Σχολαρίου εἰς τὴν γέννησιν εὐαγγελισμὸν τῆς παναγίας δεσποίνης ἡμῶν θεοτόκου καὶ ἀειπαρθένου Μαρίας: —

Καὶ πᾶσι μὲν τοῖς ἄλλοις τῶν ὄντων ὁ τοῦ εἶναι καὶ ζῆν ἐνπέφυκεν ἔρως ... ἀμήν:—

Слово очень длинное.

№ 529 (**1801**).

Въ Синаеджувапійской библіотекѣ.

Συλλογὴ διαφόρων διδαχῶν καὶ ἐπιστολῶν Μελετίου πατριάρχου Ἀλεξανδρείας. Рукопись на бумагѣ in 4⁰, XVII вѣка [лл. 340 (203×149), но лл. 1—7, 148—151, 201ᵇ—206, 252—254, 320—340 пустые]. Почеркъ — мелкій. Начало потеряно.

1) А на полѣ нынѣшней первой страницы [= л. 8ᵃ] написано: τοῦ ἁγίου Μαξίμου. Значитъ, тутъ приведено [л. 8ᵃ⁻ᵇ] ученіе св. Максима;

> [[Ἐ]πεὶ ἐκ δύο στοιχείων τὸ πᾶν σύγκειται νοητέον ἱμάτιον τοῦ Ἰησοῦ τὴν φαινομένην ταύτην καὶ προβεβλημένην κτίσιν . . . ἀλλ' ἐκ παρθένου μόνης ὑφασμένον τῇ τοῦ θείου πατρὸς τέχνῃ:—

2) лл. 8ᵇ—10ᵇ Εὐσεβίου τοῦ Παμφίλου περὶ τῆς δοκούσης διαφωνίας τῶν εὐαγγελιστῶν ἐν τῇ ἀναστάσει τοῦ Κυρίου καὶ θεοῦ ἡμῶν: —

> Πῶς παρὰ μὲν τῷ Ματθαίῳ ὀψὲ σαββάτων . . καὶ παρὰ τῷ Λουκᾷ:—
>
> съ примѣч.: ζήτει περὶ τούτου καὶ ἄλλως ἐν τῷ τέλει τοῦ βιβλίου:—

3) лл. 10ᵇ—11ᵃ Τοῦ ἐν ἁγίοις Ἰσιδώρου τοῦ Πηλουσιώτου περὶ τῆς σωτηρίου ἀναστάσεως Θεογνώ[στῳ]:—

> Ἄρα εἰ χρεώστην τινά. . . μὴ ἠληθευκέναι διϊσχυριζόμενοι:—

4) л. 11ᵃ⁻ᵇ Τοῦ αὐτοῦ περὶ τῆς αὐτῆς ὑποθέσεως Τιμοθέῳ ἀναγνώστῃ:—

> Τῶν τριῶν τῆς ταφῆς τοῦ κυρίου ἡμερονυκτίων. . .ἄγειν ἡμέραν:—

5) лл. 11ᵇ—12ᵃ α'. Ὅ(τι) σαφῶς ἡ βασιλεία τοῦ θεοῦ λέγεται καὶ ἡ βασιλεία τῶν οὐρανῶν:—

> Βασιλεία τῶν οὐρανῶν καὶ βασιλεία . . . ἡ μέλλουσα δίδοται χάρις:—

6) л. 12ᵃ (безъ заглав.) краткое сказаніе о Матѳеѣ:

Ματθαῖος ὁ Χριστοῦ μαθητὴς ὕστερον, τελώνης πρότερον ἦν... ἐν εἰρήνῃ πρὸς θεὸν ἀναλύει:—

7) л. 12[a–b]] Εἰς τὸ ῥητὸν τοῦ Ἠσαΐου: «καὶ ἐπαναπαύσεται ἐπ' αὐτὸν ἑπτὰ πνεύματα».

Πνεύματα τὰς ἐνεργείας λέγει τοῦ πνεύματος· πνεῦμα σοφίας, πνεῦμα συνέσεως, πνεῦμα γνώσεως, πνεῦμα ἐπιστήμης, πνεῦμα βουλῆς, πνεῦμα ἰσχύος, πνεῦμα φόβου θεοῦ. Ἔστι οὖν τὸ μὲν πνεῦμα τοῦ φόβου τοῦ θεοῦ ἡ τῶν κατ' ἐνέργειαν κακῶν ἀποχή. Τὸ δὲ πνεῦμα τῆς ἰσχύος ἡ πρὸς ἐνέργειαν καὶ πρᾶξιν τῶν ἐντολῶν πρόθυμος ὁρμὴ καὶ κίνησις. Τὸ δὲ πνεῦμα τῆς βουλῆς ἡ ἕξις τῆς διακρίσεως, καθ' ἣν σὺν λόγῳ τὰς θείας πράττομεν ἐντολὰς καὶ τῶν κρειττόνων διαιροῦμεν τὰ χείρονα. Τὸ δὲ πνεῦμα τῆς ἐπιστήμης ἡ τῶν κατ' ἀρετὴν τῆς πράξεως τρόπων ἄπτωτος εἴδησις, καθ' οὓς πράττοντες τῆς ὀρθῆς τοῦ λόγου κρίσεως οὐδαμῶς περιπίπτομεν. Τὸ δὲ πνεῦμα τῆς γνώσεως ἡ τῶν ἐν ταῖς ἐντολαῖς λόγων παράληψις, καθ' οὓς οἱ τρόποι τῶν ἀρετῶν καθεστήκασι. Πνεῦμα δὲ συνέσεώς ἐστιν ἡ πρὸς τοὺς τρόπους καὶ τοὺς λόγους τῶν ἀρετῶν συγκατάθεσις, ἢ κυριότερον εἰπεῖν, μεταποίησις, καθ' ἣν σύγκρασις γίνεται τῶν φυσικῶν δυνάμεων πρὸς τοὺς τράπους καὶ τοὺς λόγους τῶν ἐντολῶν. Πνεῦμα δὲ σοφίας ἐστὶ ἡ πρὸς τὴν αἰτίαν τῶν ἐν ταῖς ἐντολαῖς πνευματικωτέρων λόγων ἀνάληψίς τε καὶ ἕνωσις, καθ' ἣν ἀγνώστως τοὺς ἐν θεῷ κατὰ τὸ θεμιτὸν ἀνθρώποις ἁπλῶς μυούμενοι τῶν ὄντων λόγους, ὡς ἐκ τινὸς βλαστανούσης πηγῆς τῆς καρδίας τοῖς ἐν τοῖς ὅλοις ἀλήθειαν ποικίλως τοῖς ἄλλοις ἀνθρώποις προσφέρομεν. Ὅρα δέ, ὅπως οὐ φρονήσεως πνεῦμα φησίν, ἀλλὰ σοφίας. ὃν γὰρ λόγον ἔχει, φασί, βασιλέα πρὸς ἐπίτροπον, τοῦτον καὶ πρὸς τὴν φρόνησιν τὴν σοφίαν· ὡς τῆς μὲν ἐπιστατούσης, τῆς δὲ ὑποταττομένης, ἢ καὶ ὡς τῆς μὲν περὶ τὰ κάτω καὶ πρακτέα μᾶλλον ἀσχολουμένης, τῆς δὲ περὶ τὰ θεωρητὰ μόνα καὶ ὑψηλά. Τί δὲ διοί-

σει καὶ τῆς σοφίας ἡ σύνεσις, ἢ ὅτι συνέσεως μὲν τὸ μανθάνειν, ἢ διακρίνειν. Διὸ καὶ ἀλλαχοῦ συνετὸν ἀκροατήν φησιν τὸν ἐκ τοῦ ἀκούειν συνιέναι δυνάμενον· σοφίας δὲ τὸ καὶ ἐφ' ἑαυτῆς ἔχειν τὴν γνῶσιν· μὴ μόνον οὖν παρ' ἄλλων συνίησιν, ἀλλὰ καὶ ἀφ' ὧν ἐφ' ἑαυτῆς ἐπίσταται. Θαυμάσαι δὲ ἄξιον τὴν τάξιν τῆς ἀπαριθμήσεως, ὅπως ἀπὸ τῆς συνεχοῦς μὲν τῷ θείῳ, ἡμῖν δὲ πόρρω, τῆς σοφίας λέγω ἤρξατο· εἰς δὲ τὸ συνεχὲς μὲν ἡμῖν, τῷ θεῷ δὲ πόρρω, τὸν φόβον λέγω, κατέληξεν· ἐντεῦθεν γὰρ ἡμεῖς καὶ πρὸς τὴν σοφίαν καὶ δι' αὐτῆς πρὸς τὸν θεὸν ἄνιμεν:— (все)

Это замѣчательное ученіе о седьми дарахъ Духа Святаго я переписалъ 23 января 1861 года въ понедѣльникъ. Тогда солнце ярко свѣтило въ Капрѣ, а до того дня было пасмурно и перепадалъ дождичекъ.

[8) лл. 12^b^—147^b^ Толкованія Іоанна Златоустаго на евангелія отъ Матѳея въ 89 словахъ и Іоанна въ 88 словахъ.

9) лл. 152^a^—201^a^ Λόγοι ἐκλελεγμένοι ἐκ πολλῶν βιβλίων διδασκαλικοὶ τῆς ἁγίας τεσσαρακοστῆς:—

Τῇ α' δευτέρᾳ τῆς ἁγ. τεσσαρακοστῆς:—

Ἔφθασε καιρὸς ἡ τῶν πνευματικῶν ἀγώνων ἀρχή...

10) лл. 207^a^—251^a^ Τοῦ σοφωτάτου πάπα καὶ πατριάρχου τῆς μεγάλης πόλεως Ἀλεξανδρείας, Λιβύης, Πενταπόλεως, Αἰθιοπίας καὶ πάσης γῆς Αἰγύπτου, πατρὸς πατέρων ποιμένος ποιμένων, ἀρχιερέως ἀρχιερέων, ιγ' τῶν ἀποστόλων καὶ κριτοῦ τῆς οἰκουμένης κυρίου κυρίου] Μελετίου ἐπιστολαί:—

а) лл. 207^a^—211^a^ Μαξίμῳ τῷ θεοφιλεστάτῳ Κυθήρων. (1591 года).

Δυσὶν ἐνετύχομεν ἐπιστολαῖς τῆς θεοφιλίας σου, τῇ μὲν γραικολατίνῃ (χρήσομαι γὰρ τῇ λέξει ἤδη ἐν χρήσει οὔσῃ), τῇ δὲ ἑλληνίδι παρὰ σοῦ πεμφθείσαις...

[εἰς ἐνθουσίασιν ἐκμανῆ:— ,αφϟα'

б) лл. 211^a^—213^b^] Τοῖς ἐν Κύπρῳ (1592 года). [Παϊσίῳ τῷ εὐλαβεστάτῳ ἐν ἱερομονάχοις σὺν τοῖς τιμιωτάτοις ἄρχουσι νε-

μεσίως καὶ τοῖς λοιποῖς ὀρθοδ. χριστ. υἱοῖς ἐν κυρίῳ ἀγαπητοῖς χάριν ἔλεως: —

'Αθυμοῦντας ὑμᾶς ἐπὶ ταῖς τῆς ἐκκλησίας σχεδὸν ἁπάσης ἀφορήτοις ταλαιπορίαις, καὶ τοῖς κατ' Αἴγυπτον λιμοῖς τε καὶ λοιμοῖς, κατέλαβα χθὲς τὰ ὑμέτερα γράμματα... ἀμήν:—'Εν Αἰγύπτῳ δευτέρα ἱσταμένου ἑκατομβαιῶνος ἔτει σωτηρίῳ ,αφϟβ' κοσμογενείας ,ζρ'.

в) лл. 213^b—215^a] Γαβριὴλ τῷ Φιλαδελφίας (1592 года).

Λυπεῖς, οἷς γράφεις, ἄκρως λακωνίσας, οὐ τῶν ἡμετέρων μόνον γραμμάτων, ἀλλὰ καὶ τῶν καθ' ὑμᾶς πραγμάτων...[δίχα παραπετασμάτων:—εἰρήνη ὑμῖν:— 'Εν Αἰγύπτῳ α' βοηδρομιῶνος ,αφϟβ'.

г) лл. 215^a—216^a] Τοῖς κατὰ τὴν λαμπροτάτην Μησῆναν εὑρισκομένοις χριστιανοῖς ὀρθοδόξοις, ἱερεῦσι τε καὶ λαϊκοῖς σὺν γυναιξὶ καὶ τέκνοις, υἱοῖς κατὰ πνεῦμα ἀγαπητοῖς τῆς ἡμῶν μετριότητος χάριν ἔλεος:— (1592 года)

'Ο φιλάνθρωπος θεός, ἀδελφοί, προσφαλίζων τὴν λογικὴν αὐτῷ μάνδραν... μὴ τοίνυν ἀδελφοὶ μὴ ἐγκαταλείψατε τὰς πατρικὰς νομοθεσίας, οὐδὲ περὶ τὴν τοῦ πάσχα ἑορτὴν τῶν τριακοσίων ἐκείνων δέκα καὶ ὀκτὼ θεοφόρων πατέρων ἐστὶν ἡ περὶ τοῦ πάσχα ὁροθεσία... [μετὰ πάντων ὑμῶν: ,αφϟβ'.

'Επειδὴ δὲ ἴσμεν, ὅτι καὶ εἰς τὰς ἀκοὰς τῶν ἀρχόντων ἐλεύσεται τὰ ἡμέτερα γράμματα ἐκρίναμεν αὐτοὶ τὰ αὐτὰ λατινιστὶ ἐκδοῦναι ἵνα παρ' ἡμῶν μάθωσι τὰ ἡμέτερα καὶ μὴ τῇ μεσιτείᾳ τῶν ἑρμηνέων συμβῆναι τι τῶν ἀβουλήτων:—

д) лл. 216^b—217^b Τοῖς κατὰ πᾶσαν τῶν λαμπροτάτων 'Ενετῶν θεοφύλακτον ἀρχὴν διάγουσιν εὐσεβῶς καὶ αὐτῇ δὲ ἐξαιρέτως τῇ ἐνδοξοτάτῃ τῶν 'Ενετῶν ἀρχῇ, υἱοῖς κατὰ πνεῦμα ἀγαπητοῖς τῆς ἡμῶν μετριότητος χάριν ἔλεος καὶ εἰρήνην παρὰ τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν 'Ιησοῦ Χριστοῦ:—

Εὐχαριστεῖν μὲν ὀφείλομεν... καὶ σωτῆρος:—

е) лл. 217^b—218^b] Τοῖς κατὰ τὴν λαμπροτάτην πόλιν τῶν

Ἐνετῶν εὑρισκομένοις ὀρθοδόξοις χριστιανοῖς (1595 года) τοῖς τε εὐγενεστάτοις καὶ τιμιωτάτοις ἄρχουσι σὺν παντὶ τῷ λοιπῷ χριστωνύμῳ λαῷ υἱοῖς ἐν κυρίῳ Ἰησοῦ ποθεινοτάτοις χάριν ἔλεος:—

Μετὰ τῶν τιμίων γραμμάτων... [ἀμήν:— ,ζργ'.

ж) лл. 218^b—220^b] Γαβριὴλ τῷ Φιλαδελφίας:— (1596 года).

Θαυμάζω, ἅ σου τῇ φιλοκαγαθίᾳ καταθύμια τὰ περὶ τῆς ἑνώσεως τῶν ἀχράντων μυστηρίων ἧκε γράμματα διὰ σῶν γραμμάτων μὴ μεμαθηκώς, τηλικούτου παραρυέντος ἤδη χρόνου... [ἐπιτιθέασι τὴν σιγήν:— ,ζρδ'.

з) лл. 220^b—225^b] Παϊσίῳ ἱερομονάχῳ. 7104=1596 года. Длинное письмо.

['Εξῆν σοῦ τῇ ... κεκτημένα φρονήματα: ἔρρωσο ἐν Κυρίῳ τίμιον τέκνον:— Ἐν Ἀλεξανδρείᾳ δεκάτῃ φθίνοντος βοηθρομιῶνος ,ζρδ'.

и) лл. 225^b—227^a] Τοῖς κατὰ πᾶσαν τὴν περιφανῆ Ζάκυνθον καὶ Κεφαληνίαν καὶ τὰ πορρωτέρω καὶ σύνεγγυς εὑρισκομένοις ὀρθοδόξοις χριστιανοῖς, ἱερεῦσι τε καὶ λαϊκοῖς υἱοῖς ἐν Κυρίῳ ἀγαπητοῖς χάριν ἔλεος:—

Ἡ μετριότης ἡμῶν εὔχεται καὶ εὐλογεῖ... [ἀμήν:—

і) лл. 227^a—234^a Τοῖς ἐν Μικρᾷ Ῥωσίᾳ:—](1597 года) Предлинное посланіе.

Τῷ . . . δεσπότῃ Ὀστροβείας, ἀρχηγῷ Λιτουανείας καὶ Κυοβίας καὶ κριτῇ Βλαδημοιρίας τῷ μεγαλοπρεπεστάτῳ κνέζῃ Βασιλείῳ, καὶ τοῖς λοιποῖς [ὀρθοδόξοις καὶ ὑπερφυέσιν ἄρχουσι καὶ δεσπόταις καὶ πάσης μικρᾶς Ῥωσίας τοῖς τε εὐλαβεστάτοις τῶν ἱερέων καὶ παντὶ τῷ φιλοχρίστῳ λαῷ τῶν ὀρθοδόξων τῷ κατὰ πᾶσαν ταύτην τὴν ἀρχὴν εὑρισκομένων (!), υἱοῖς ἐν Κυρίῳ ποθεινοτάτοις χάριν ἔλεος καὶ εἰρήνην καὶ κατ' ἐχθρῶν νίκην, τρόπαια παρὰ τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ἀμήν:—]

Τοῦτο ἦν ὅπερ ἔλεγεν ὁ σωτὴρ ἡμῶν.. [εἰς τοὺς αἰῶνας:—Ἐν Ἀλεξανδρείᾳ πυανεψιῶνος ἱσταμένου ,ζρε'.

к) л. 234^{a-b}] Τοῖς ἐν Βυλίνι: (въ Вильнѣ).

[Τοῖς ἐν Βυλίνι τῇ λαμπροτάτῃ διάγουσιν ἀδελφοῖς τῶν ὀρ-

θοδόξων χριστιανῶν τοῖς τε τοῦ ἱεροῦ καταλόγου καὶ τῆς κοσμικῆς εὐκοσμίας τοῖς ἐν Χριστῷ Ἰησοῦ ὑπερποθήτοις. χάριν ἔλεος:—]

Εὐφραίνεταί μου τὰ τεθλιμμένα σπλάγχνα ... [οὗ ἡ χάρις. Ἐν Κωνσταντινουπόλει:—

л) лл. 234[b]—240[b]] Τοῖς ἐν Πολονίᾳ Ῥώσσοις: (1597 года)

[Τοῖς εὐσεβέσι καὶ ὀρθοδοξοτάτοις Ῥώσοις τὴν ἀναπᾶσαν τὴν ὑψηλοτάτην ἀρχὴν τῆς κρατίστης βασιλείας Πολονίας παροικοῦσι, τοῖς ἐν Κυρίῳ υἱοῖς περιποθήτοις τῆς ἡμῶν μετριότητος χάριν ἔλεος καὶ εἰρήνην παρὰ τοῦ Κυρίου:—]

Ἄνδρες Ῥῶσοι, τῆς εὐσεβείας τὰ θρέμματα, τοῖς ὀρθοδοξίας ὑπερασπισταί, οἱ τῇ προαιρέσει ἤδη μάρτυρες... [ἀμήν:— Ἐν Κωνσταντινουπόλει ͵ζρε΄

м) лл. 240[b]—244[a] Τοῖς ἐν Μικρᾷ Ῥωσίᾳ Γεδεὼν ἐπισκόπῳ.]

(1597 года) Γεδεὼν τῷ θεοφιλεστάτῳ ἐπισκόπῳ Λεοντοπόλεως καὶ συνεπισκόπῳ σὺν τοῖς λοιποῖς [εὐλαβεστάτοις ἱερεῦσι καὶ λαμπροτάτοις ἄρχουσι μετὰ πάντων τῶν ὀρθοδόξων τῆς Μικρᾶς Ῥωσίας λαῶν ἀνδρῶν τε καὶ γυναικῶν, γερόντων τε καὶ παιδίων, τοῖς ἐν Χριστῷ ἀγαπητοῖς χάριν ἔλεος καὶ εἰρήνην παρὰ τοῦ κυρίου καὶ θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ:—]

Ἡ μετριότης ἡμῶν εὔχεται καὶ εὐλογεῖ πάντας ὑμᾶς... [ἀμήν:—Ἐν Κωνσταντινουπόλει ͵ζρε΄.

н) лл. 244[a]—251[b]] Τοῖς ἐν Χίῳ (1598 года). Очень длинно.

Τῷ ἱερωτάτῳ μητροπολίτῃ σὺν τοῖς .... περιποθήτοις χάριν.

Ὕπαγε ὀπίσωμου σατανὰ (εἶπεν ὁ σωτὴρ τῷ Πέτρῳ ποτὲ) τῷ διὰ Πέτρου τὴν πέτραν ἐπηρεάζειν καὶ διὰ τῆς ἐν προσχήματι φιλανθρωπίας τὸ τῆς φιλανθρωπίας μυστήριον ἀναχαιτῖσαι... [μετὰ πάντων ὑμῶν:— Ἐν Κωνσταντινουπόλει ͵ζρϛ΄.]

Всѣ письма.

Πολλαῖς φοραῖς βλέποντες τοὺς χριστιανοὺς δηλαδὴ τοὺς ὀρθοδόξους, καὶ μάλιστα τοῦ λόγου μας, πῶς τυραννούμεσθεν ἀπὸ τοὺς κρατοῦντας ....

Думаю, что это же самое сочиненіе я видѣлъ и отмѣтилъ въ Іерусалимѣ въ прошломъ (1860) году.

Отдѣлъ VI.

Философія.

Въ Синаеджуванійской библіотекѣ въ Каирѣ.

№ 533 (**1720**).

Ἀριστοτέλους Ἠθικὰ Νικομάχεια βιβλία δέκα, на бумагѣ въ осьмую долю листа, рукопись XV вѣка. Почеркъ — мелкій, красивый. [XIV вѣка, тетради α' — ις' (200×140; 139×75).

Начинается съ Ἀριστοτέλους Ἠθικῶν Νικομαχείων βιβλίον α'.]

Κεφάλ. α'. Πᾶσα τέχνη καὶ πᾶσα μέθοδος...

№ 534 (**2124**).

Въ той же библіотекѣ.

Ἀριστοτέλους Πολιτικά, на бумагѣ in 8° [218×145], XV вѣка, съ записью:

✝ Ἐγράφη ἐν τῇ Φλωρεντείᾳ τῷ πανιερωτάτῳ μητροπολίτῃ Νικαίας παρ' ἐμοῦ διακόνου Θεοδώρου τοῦ νομικοῦ καὶ ὑπομνηματογράφου τῆς μεγάλης ἐκκλησίας.

[✝ καὶ θεῷ φίλον τὸ κατὰ δύναμιν:—
✝ διπλοῦν τὸν ἁπλοῦν κυήσασα λόγον:—
✝ διπλῆν ῥῶσιν δίδου μοι τῷ γεγραφότι:—]

Предъ этою рукописью вшиты статьи:

1) Γεωργίου φιλοσόφου τοῦ Γεμιστοῦ: Μέθοδος εὑρέ-

σεως ἡλίου καὶ σελήνης κύκλου καὶ τοῦ πάσχα καὶ τῆς τῶν ἀστέρων ἐποχῆς, ἀπὸ κανόνων, οὓς αὐτὸς συνεστήσατο:

> Νυχθήμερόν ἐστιν ἡλίου μία περὶ γῆν περιφορά· καὶ ἡμέρα δὲ τὸ ὅλον νυχθήμερον λέγεται...
> Μὴν ἐστὶ σελήνης μία περὶ τὸν ζωδιακὸν περίοδός τε καὶ ἐπικατάληψις ἡλίου...

2) Таблицы, въ которыхъ вмѣсто цифръ наставлены буквы:

1. + Κανὼν ἁπλῶν ἐτῶν τῆς κινήσεως τῶν ἀστέρων τε καὶ φώτων.
2. + Κανὼν ιθ' ἐτηρίδων τῶν αὐτῶν.
3. + Κανὼν [ ]
4. + Κανὼν δεδομένων ἀρχῶν.
5. + Κανὼν μηνῶν τῆς κινήσεως τῶν φωτῶν τε καὶ ἀστέρων.
6. + Κανὼν ἡμερῶν τῆς κινήσεως τῶν αὐτῶν.
7. + Κανόνιον τῆς ἡλιακῆς ἀνωμαλίας.
8. + Κανόνιον τῆς πρώτης καὶ ἁπλῆς ἀνωμαλίας τῆς σελήνης.
9. + Κανόνιον τῶν ἐν τῇ ὀρθῇ σφαίρᾳ κατὰ δεκαμοιρίαν ἀναφορῶν.
10. + Κανόνιον τῆς τοῦ [ ] ἀνωμαλίας.
11. + Κανόνιον τῆς τοῦ [ ] ἀνωμαλίας.
12. + Κανόνιον τῆς ἀνωμαλίας τοῦ Ἄρεως.
13. + Κανόνιον τῆς ἀνωμαλίας τῆς [ ] + Ἀφροδίτης ἀπὸ ταύρω.
14. + Κανόνιον τῆς ἀνωμαλίας Ἑρμοῦ.

Всѣ эти таблицы представляютъ собою 7 столбцовъ въ высоту и 15 въ ширину.

3) Περὶ ἐκθέσεως τοῦ θεματίου, съ тремя астрономическими чертежами.

4) Κανόνιον τῶν ὡρῶν τῶν ἡμερῶν τοῦ ὅλου χρόνου [ ] τοῦ διὰ Ῥόδου παραλλήλου.

Замѣчательные столбцы, или таблицы.

5) Περὶ τῆς τῶν δώδεκα τόπων διακρίσεως.

6) NB. Послѣ этой астрономической статьи слѣдуетъ: Ἀριστοτέλους πολιτικῶν α΄:—

Ἐπειδὴ πᾶσαν πόλιν ὁρῶμεν κοινωνίαν τινὰ οὖσαν...

7) Послѣ Политики Аристотеля, латино-греческій лексиконъ [Λεξικὸν ὀνομάτων κατὰ στοιχεῖον: —

Abbas ἀββᾶς· abbatia τὸ ἡγουμενίων...

а затѣмъ греко-лат. словарь:

ἀββᾶς
ἀβρὸς
ἀβέβαιος instabilis infirmus.
. . . .]

8) Τοῦ ὑπάτου τῶν φιλοσόφων Ἰωάννου διακόνου τοῦ Πεδιασίμου χαρτοφύλακος Βουλγαρίας τῆς πρώτης Ἰουστινιανῆς, σύνοψις περὶ μετρήσεως καὶ μερισμοῦ γῆς:—

Πολλοὶ τῶν ἀμυήτων γεωμετρίαν μὲν ἀξιοῦσι καλεῖν τὴν Εὐκλείδου τῶν θεωρημάτων στοιχείωσιν...

Эта статья уписана на $10^1/_2$ страницахъ весьма мелко и сжато. Въ ней много геометрическихъ чертежей, пирамидъ, треугольниковъ, квадратовъ, и проч.

9) Artificialis memoriae prooemium incipit.

Artificialis memoriae ab arte duntaxat...

На 20 страницахъ . . . Какая-то смѣсь для облегченія памяти. Напримѣръ:

Caput decimum.

Orationes. Prosae. Sermones. Cronicae. Epistolae. Historiae. Fabulae. Privilegia. Argumenta.

А предъ этою главою описаны одежды папъ, кардиналовъ, патріарховъ, монаховъ.— Латиницина для справокъ! ! !

№ 535 (1754).

Въ той же библіотекѣ.

Рукопись XVI вѣка на бумагѣ in 4° [204×155; лл. 331; содержитъ:]

Τοῦ σοφωτάτου κυροῦ Γεωργίου πρωτεκδίκου τοῦ Παχυ-

μέρη σύνταγμα τῶν τεσσάρων μαθημάτων, ἀριθμητικῆς, μουσικῆς, γεωμετρίας καὶ ἀστρονομίας.—

Σύνταγμα τοῦτο τῶν σοφῶν μαθημάτων...

[Здѣсь съ л. 80ª] Ἁρμονικὴ μουσική.

Δευτέραν ἔχει τάξιν μετὰ τὴν ἀριθμητικὴν ἡ μουσική, ἣν καὶ ἁρμονικὴν λέγομεν διὰ τὸ ἁρμόζεσθαι τὰς συμφωνίας αὐτῆς κατὰ λόγους ἀριθμητικούς.

Κεφαλ. β'.—Τὰ ὀνόματα τῶν φθόγγων ἀπὸ τῶν κατ' οὐρανὸν φερομένων ἀστέρων ὑπέθεντο κομψῶς λέγοντες ῥοιζοῦν τοὺς ἀστέρας καὶ διαφέρειν κατὰ τὸν ῥοῖζον, ἢ παρὰ τοὺς ἑαυτῶν ὄγκας, ἢ παρὰ τὰς ἰδίας ταχύτητας, ἢ ἐποχάς. Ἀπὸ μὲν οὖν τοῦ Κρονικοῦ κινήματος ὁ βαρύτατος ἐν τῇ διὰ πασῶν ἐκλήθη ὑπάτη· ἀπὸ δὲ τοῦ σεληνιακοῦ νήτη· ἀπὸ δὲ τοῦ Διὸς παρυπάτη· ἀπὸ δὲ τοῦ ὑπὲρ τὴν σελήνην τοῦ τῆς Ἀφροδίτης παρανήτη· ἀπὸ δὲ τοῦ Ἡλιακοῦ τοῦ μεσαιτάτου μέση, καὶ διὰ τεσσάρων πρὸς ἀμφότερα τὰ ἄκρα· ἀπὸ τῶν παρ' ἑκάτερα τοῦ ἡλίου, ἄνω μὲν τούτου Ἄρεως ὑπερμέση, κάτω δὲ τοῦ Ἑρμοῦ παραμέση. Τὴν δὲ ὑπερμέσην καὶ λιχανόν φασιν. Ἐπεὶ δὲ ἑπτὰ εἰσὶν οἱ πλάνητες, ἑπτάχορδος ἡ λύρα ἦν...

№ 536 (**1632**).

Тамъ же.

Рукопись на бумагѣ въ большой листъ [345×230], 1694 года, содержитъ

Ἐξήγησις εἰς τὰ μετὰ τὰ φυσικὰ τοῦ σοφωτάτου Κορυδαλέως. [Точное заглавіе труда:

Τοῦ σοφωτάτου καὶ λογιωτάτου κυρίου Θεοφίλου τοῦ Κορυδαλλέως σχολαστικὴ παρασημείωσις εἰς τὸ μεῖζον α' τῶν μετὰ τὰ φυσικὰ Ἀριστοτέλους.]

Запись писца

Τέλος εἴληφε μέχρι τούτου τοῦ γράμματος δ' ἡ τοῦ σοφωτάτου Κορυδαλλέως ἐξήγησις εἰς τὰ μετὰ τὰ

φυσικά:—αχηδ' δεκεμβρίου κδ'. Ἐγράφη δὲ ὑπὸ Κοσμᾶ ἱερομονάχου τοῦ Σιναΐτου ἐν τῇ οἰκίᾳ τοῦ εὐγενεστάτου καὶ μεγαλοπρεπεστάτου ἄρχοντος κυρίου Λασκαράκι τοῦ Ῥωσσέτου· δώῃ αὐτὸ ὁ Κύριος πᾶν ἀγαθὸν καὶ σωτήριον.

№ 537 (**1678**).

Въ Синаеджуванiйской библiотекѣ.

Толстая рукопись, на бумагѣ in 4°, 1706 года.

Θέατρον πολιτικόν, εἰς τὸ ὁποῖον περιέχεται ἀκριβὴς συμβουλή, τί πρέπει νὰ κάμῃ, καὶ ἀπὸ τί πρέπει νὰ ἀπέχει ὁ ἡγεμών:—

Κεφ. α'. Ὁ ἡγεμὼν χρεωστεῖ νὰ περάσῃ ζωὴν τιμίαν...

въ 22 главахъ.

Запись:

Καὶ τόδε σὺν τοῖς ἄλλοις Ἀνθίμου ἱερομονάχου Κρητικοῦ. Ἐτελειώθη εἰς τοὺς ,αψς' [1]) ἰαννουαρίου ιζ' ἐν Βουκουρέστι:—

[Съ помѣткой:

Τὸ παρὸν ὑπάρχει Σιναίου ὄρους il Presente hé di Sto Mte Sinà.]

№ 538 (**1687**).

Тамъ же.

Εὐγενίου ἱεροδιακόνου Λογική, ἐπιστημονικῇ μεθόδῳ συγγεγραμμένη, на бумагѣ in 4°. Въ 1754 году октября 17 дня написана или прiобрѣтена сiя рукопись. Въ ней много рисованныхъ очерковъ, въ родѣ геометрическихъ фигуръ, для нагляднаго представленiя и уясненiя категорiй, силлогизмовъ, предложенiй и сужденiй. Первая категорiя Аристотеля περὶ

[[1]) Я прочелъ ,αψν', т. е. 1750.]

οὐσίας представлена въ видѣ дерева, которое, не знаю почему, названо деревомъ Порфирія.

[Запись:

͵αφνδʹ ὀκτωβρίου ιζʹ.

Помѣтка:

χρῆμα Γερμανοῦ Σιναΐτου Κρητός.]

Отдѣлъ VII.

Географія. Топографія. Исторія.

№ 539 (**1186**).

Τοπογραφία χριστιανική Κοσμᾶ Ἰνδικοπλεύστου, на пергаминѣ in 4⁰ [255×185; лл. 211; XI вѣка *Г*] [лл. 195, по 30 строкъ; XII вѣка; со множествомъ украшеній и 56 миніатюрами *А*], съ живописными миніатюрными изображеніями, съ астрономическими чертежами и географическими картами рукопись IX или X вѣка, драгоцѣнная [обрывается на словѣ 12-мъ: τῇ Ἀλεξανδρείᾳ ἀπολέσει διὰ τῶν ἐλεφάντων καὶ *АГ*] Смотри у меня снимки съ этихъ картъ и чертежей въ особомъ картонѣ [Имп. Публ. Библ. № 3 табл. 1—11]. А здѣсь читай кое-какія выписки мои изъ этой рукописи [сравн. *Порфирія*, Первое пут., 241—242], сдѣланныя 28 іюня 1850 года.

А) о Рапѳѣ

Λόγος β΄. — Выше говоритъ а) о томъ, что въ Нилѣ увеличивается вода отъ проливныхъ дождей въ Абиссиніи, и б) о томъ, что въ приморскомъ городѣ Эѳіоповъ Адули стоялъ памятникъ мраморный (Δίφρος) съ греческими писменами. Далѣе:

Παρόντι μοι οὖν ἐν τοῖς τόποις πρὸ τούτων τῶν ἐνιαυτῶν κε΄ πλέον ἢ ἔλαττον ἐν τῇ ἀρχῇ τῆς βασιλείας Ἰουστίνου τῶν Ῥωμαίων βασιλέως, ὁ τηνικαῦτα βασιλεὺς τῶν Ἀξω-

μητῶν Ἐλεσβαὰμ μέλλων ἐξιέναι εἰς πόλεμον πρὸς τοὺς Ὁμηρίτας τοὺς πέραν, γράφει τῷ ἄρχοντι Ἀδούλεως, ἀναλαβεῖν τὰ ἴσα τῶν γεγραμμένων ἐν τῷ δίφρῳ τῷ πτολεμαϊκῷ καὶ τῇ εἰκόνι, καὶ ἀποστεῖλαι αὐτῷ. Καλέσας δέ με ὁ τότε ἄρχων ὀνόματι Ἀσβᾶς καὶ ἄλλον ἕνα πραγματευτήν, ὀνόματι Μηνᾶν, ὃς γενόμενος μονάζων ἐν τῇ Ῥαϊθοῦ οὐ πρὸ πολλοῦ τὸν βίον μετήλλαξε, κελεύει ἡμῖν ἀπελθεῖν καὶ ἀναλαβεῖν τὰ γεγραμμένα. Λαβόντες δὲ δεδώκαμεν τῷ ἄρχοντι κατασχόντες ἑαυτοῖς τὰ ἴσα. Письмена эти содержали извѣстіе о походахъ Птолемея, сына Птолемея и Арсинои, въ Азію, и о покореніи разныхъ африканскихъ племенъ. Дифросъ былъ поставленъ въ 27-й годъ царствованія его.

Слово 1. Во время Козьмы, было мнѣніе о существованіи антиподовъ. Но это мнѣніе казалось ему смѣшнымъ: «Какъ тамъ люди ходятъ вверхъ ногами?»

Слово 2. Письмо другу, который изъ Іерусалима прибылъ въ Александрію къ Козьмѣ.—Скинія Моисея была τύπος καὶ ὑπογραφὴ παντὸς τοῦ κόσμου. — Моисей ἀνήγαγεν ἐπὶ τὸ Σίναιον ὄρος καὶ θεωρεῖ τὴν ὀπτασίαν ἐκείνην τῆς βάτου...

Б) о Іерусалимѣ.

Слово 2. Рѣчь идетъ о томъ, что Спаситель предрекъ разореніе Іерусалима. Ἔκτοτε οὖν ἐλθόντες οἱ Ῥωμαῖοι καὶ τὸν ναὸν καὶ τὴν πόλιν κατέσκαψαν καὶ ἔρημον παντελῶς εἰργάσαντο· ὥσπερ ἐκ συνθήματος δεσπότου τὸ προσταχθὲν ἐκπληρώσαντες. Καὶ ὁρῶμεν αὐταῖς ὄψεσι μέχρι τοῦ νῦν· ἰδοὺ πλέον πεντακοσίων ἐτῶν, ἐξ ὅτε ἔρημος γέγονε, μὴ δυνάμενος ἀνανεωθῆναι.

Λόγος γ'. Διωκόμενοί ποτε οἱ χριστιανοὶ ἐξ Ἑλλήνων καὶ Ἰουδαίων νενικήκασι καὶ τοὺς διώκοντας εἰς ἑαυτοὺς εἵλκυσαν. Ὁμοίως καὶ τὴν ἐκκλησίαν μηδέποτε καταβαλλομένην, ἀλλὰ πληθυνομένην. καὶ ὁμοίως δὲ πᾶσαν τὴν γῆν τῆς διδασκαλίας τοῦ δεσπότου Χριστοῦ πληρωθεῖσαν καὶ ἔτι πληρουμένην, καὶ τὸ Εὐαγγέλιον κηρυττόμενον ἐν ὅλῳ τῷ κόσμῳ. ὅπερ ἐν πλείοσι τόποις παρὼν ἰδὼν καὶ μεμαθηκὼς ἀπαγγέλλω ὡς ἐπὶ τῆς ἀληθείας. Ἐν τῇ Ταπροβάνῃ νήσῳ ἐν τῇ ἐσωτέρᾳ Ἰνδίᾳ, ἔνθα τὸ Ἰνδικὸν

πέλαγός ἐστι, καὶ ἐκκλησία χριστιανῶν ἐστιν ἐκεῖ καὶ κληρικοὶ καὶ πιστοί· οὐκ οἶδα δέ, εἰ καὶ περαιτέρω. Ὁμοίως καὶ εἰς τὴν λεγομένην Μαλέ, ἔνθα τὸ πεπέρι γίνεται, καὶ ἐν τῇ Καλλιάνᾳ δὲ τῇ καλουμένῃ καὶ ἐπίσκοπος ἐστὶν ἀπὸ Περσίδος χειροτονούμενος. Ὁμοίως καὶ ἐν τῇ νήσῳ τῇ καλουμένῃ Διοσκορίδους κατὰ τὸ αὐτὸ Ἰνδικὸν πέλαγος, ἔνθα καὶ οἱ παροικοῦντες ἑλληνιστὶ λαλοῦσι, πάροικοι τῶν Πτολεμαίων τῶν μετὰ Ἀλέξανδρον τὸν Μακεδόνα ὑπάρχοντες, καὶ κληρικοὶ εἰσὶν ἐκ Περσίδος χειροτονούμενοι καὶ πεμπόμενοι ἐν τοῖς αὐτόθι, καὶ χριστιανοὶ πλῆθος. Ἣν νῆσον παρεπλεύσαμεν, οὐ κατῆλθον δὲ ἐν αὐτῇ· συνέτυχον δὲ ἀνδράσι τῶν ἐκεῖ ἑλληνιστὶ λαλοῦσιν, ἐλθοῦσιν ἐν τῇ Αἰθιοπίᾳ. Ὁμοίως δὲ καὶ ἐπὶ Βάκτροις καὶ Οὔννοις, καὶ Πέρσαις, καὶ λοιποῖς Ἰνδοῖς καὶ Περσαρμενίοις, καὶ Μήδοις, καὶ Ἐλαμήταις καὶ πάσῃ τῇ χώρᾳ Περσίδος καὶ ἐκκλησίαι ἄπειροι καὶ ἐπίσκοποι καὶ χριστιανοὶ λαοὶ πάμπολλοι, καὶ μάρτυρες πολλοί, καὶ μονάζοντες ἡσυχασταί· Ὁμοίως δὲ καὶ ἐπὶ τὴν Αἰθιοπίαν Ἀξώμην τε καὶ πᾶσαν τὴν περίχωρον, Ἄραβάς τε τοὺς Εὐδαίμονας τοὺς νῦν καλουμένους Ὁμηρίτας, πᾶσαν Ἀραβίαν καὶ Παλαιστίνην, Φοινίκην τε καὶ πᾶσαν Συρίαν καὶ Ἀντιόχειαν μέχρι Μεσοποταμίας, Νωβάτας τε καὶ Γαραμάντας, Αἴγυπτον καὶ Λιβύην καὶ Πεντάπολιν, Ἀφρικὴν καὶ Μαυριτανίαν ἕως Γαδείρων τὰ πρὸς νότον πανταχοῦ ἐκκλησίαι χριστιανῶν εἰσί, καὶ ἐπίσκοποι, μάρτυρες, μονάζοντες, ἡσυχασταί, διὰ παντὸς ὅπη ἐστὶ κηρυττόμενον τὸ Εὐαγγέλιον τοῦ Χριστοῦ. Ὁμοίως πάλιν Κιλικίαν, Ἀσίαν, Καππαδοκίαν, Λαζικὴν καὶ Πόντον, καὶ τὰ ὑπερβόρεια μέρη Σκυθῶν Ὑρκανῶν, Ἑρούλλων, Βουλγάρων, Ἑλλαδικῶν τε καὶ Ἰλλυρίων, Δαλμάτων, Γότθων, Ἀσάνων, Ῥωμαίων, Φράγγων καὶ λοιπῶν ἐθνῶν μέχρι τῶν Γαδείρων τοῦ Ὠκεανοῦ κατὰ τὸ βόρειον μέρος πιστευσάντων καὶ καταγγελλόντων τὸ εὐαγγέλιον τοῦ Χριστοῦ. Немного ниже: Ποῖον ἔθνος ἀπὸ ἀνατολῶν καὶ δυσμῶν ἄρκτου τε καὶ μεσημβρίας πιστεῦσαν εἰς Χριστὸν οὐ προλέγει ἐκ μεθόδων καὶ διαφόρων ψήφων πολλῶν ἐτῶν πασχαλίας ἑορτάς; καὶ πάντες προλέγοντες ἀληθεύουσι, ἐν μιᾷ ἡμέρᾳ ἀπ' ἄκρων γῆς ἕως ἄκρων ἑορτάζοντες συμφώνως κατὰ διαφόρους ψήφους καὶ μεθόδους·

σοφίσας γὰρ ὁ θεὸς τὸν ἄνθρωπον, καὶ λόγον αὐτῷ μεταδοὺς ἐφευρίσκειν πεποίηκεν.

Λόγος δ'. Ἀνακεφαλαίωσις σύντομος καὶ διαγραφὴ σχημάτων τοῦ κόσμου κατὰ τὴν θείαν Γραφὴν καὶ τῆς σφαίρας ἡ ἀνατροπή.

Γέγραπται· Ἐν ἀρχῇ ἐποίησεν ὁ θεὸς οὐρανὸν καὶ τὴν γῆν. Διαγράφομεν τοίνυν τὸν πρῶτον οὐρανὸν ἅμα τῇ γῇ τὸν καμαροειδῆ, ἄκρα ἄκροις συνδεδεμένον· καθὼς δὲ ἐνδέχεται αὐτὸν γραφῇ παραδοῦναι πεποιήκαμεν, τέως κατὰ τὸ πλάγιον τὸ δυτικόν, ἢ τὸ ἀνατολικόν· τὰ γὰρ αὐτὰ δύο πλάγια τοῖχοί εἰσιν· ἀποκάτωθεν ἕως αὐτῆς ἄνω τῆς καμάρας. Ἔστι δὲ καὶ τὸ στερέωμα κατὰ μέσου συνδεδεμένον τῷ πρώτῳ οὐρανῷ, ἐν ᾧ εἰσιν ἐπὶ νώτου τὰ ὕδατα, κατ' αὐτὴν τὴν θεῖαν γραφήν. Ἔστιν οὖν ἡ θέσις καὶ τὸ σχῆμα τοιόνδε.

Εἰς τὰ ἄκρα τῆς γῆς κατὰ τὰ τέσσαρα μέρη αὐτῆς ὁ οὐρανὸς αὐτῇ κεκόλληται τοῖς ἑαυτοῦ ἄκροις, ποιῶν σχῆμα κύβου· ὡσανεὶ τετράγωνον· ἄνωθεν δὲ ἐφ' ὕψους καμαροειδὴς ἑλισσόμενος κατὰ τὸ μῆκος· καὶ γίνεται ὡς θόλος μεγάλη. καταμέσοθεν δὲ συνδέδεται καὶ τὸ στερέωμα. καὶ γίνονται χῶροι δύο.

Ἀπὸ τῆς γῆς ἕως τοῦ στερεώματος χῶρός ἐστι πρῶτος, ὁ κόσμος οὗτος, ἐν ᾧ εἰσιν ἄγγελοι καὶ ἄνθρωποι καὶ πᾶσα ἡ νῦν κατάστασις.

Ἀπὸ τοῦ στερεώματος ἕως ἄνω τῆς καμάρας, χῶρός ἐστι δεύτερος ἡ βασιλεία τῶν οὐρανῶν, ἔνθα ὁ Χριστὸς ἀναληφθεὶς πρῶτος πάντων εἰσῆλθεν ἐγκαινίσας ἡμῖν ὁδὸν πρόσφατον καὶ ζῶσαν.

Κατὰ μὲν τὸ πλάγιον τὸ δυτικὸν ἢ τὸ ἀνατολικὸν τοιόνδε σχῆμα ἔχει μακρόν, ὡς ἐπὶ θόλου μεγάλης. κατὰ δὲ τὰ νότια καὶ βόρεια μέρη, τὸ μῆκος ἀποδείκνυσιν. Ἔστιν οὖν τὸ σχῆμα καὶ οὕτως τοιόνδε.

Παραγραφή.

Οὗτος ὁ πρῶτος οὐρανὸς ὁ καμαροειδής, ὁ ἐν τῇ πρώτῃ ἡμέρᾳ γεγονὼς ὁ ἅμα τῇ γῇ, περὶ οὗ λέγει Ἡσαΐας· Ὁ στήσας τὸν οὐρανὸν ὡσεὶ καμάραν. ὁ καταμέσοθεν δὲ αὐτοῦ συνδεδεμένος, ὁ ἐν τῇ δευτέρᾳ ἡμέρᾳ γεγονώς, περὶ οὗ ἐπιφέρει πάλιν

*

Ἡσαΐας λέγων· Καὶ διατείνας αὐτὸν ὡς σκηνὴν κατοικεῖν. Ὁ δὲ Δαυὶδ λέγει περὶ αὐτοῦ· Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέρριν. Καὶ σαφέστερον δηλῶν λέγει· Ὁ στεγάζων ἐν ὕδασι τὰ ὑπερῷα αὐτοῦ. Ἔτι ἄκρα οὐρανοῦ καὶ γῆς τῆς Γραφῆς μνημονευούσης, οὐ δύναται ἐπὶ σφαίρας νοεῖσθαι. Πάλιν λέγει Ἡσαΐας· Οὕτως λέγει Κύριος, ὁ ποιήσας τὸν οὐρανὸν καὶ πήξας αὐτόν. Ὁ δὲ ἀπόστολος ὁμοίως· Καὶ τῆς σκηνῆς τῆς ἀληθινῆς, ἣν ἔπηξεν ὁ Κύριος καὶ οὐκ ἄνθρωπος. Ἀμφότεροι ἱστάμενον λέγοντες καὶ πεπηγότα ἐν τῇ γῇ καὶ οὐ περιφερόμενον. Ἔτι τὰ ἄκρα τοῦ οὐρανοῦ παρ' ἑκάτερα σὺν τοῖς ἄκροις τῆς γῆς συνδεδεμένα εἰσί, περὶ ὧν ἐν τῷ Ἰὼβ γέγραπται· Οὐρανὸν δὲ εἰς γῆν ἔκλινε· κέχυται δέ, ὥσπερ γῆ κονία. κεκόλληκα δὲ αὐτόν, ὥσπερ λίθον κύβον. Περὶ δὲ τῆς γῆς γέγραπται πάλιν ἐν τῷ Ἰὼβ· Ὁ κρεμνῶν τὴν γῆν ἐπ' οὐδενός, ὡσανεὶ μὴ ἔχουσαν ὑποκάτω τι. Ὁ δὲ Δαυὶδ συμφώνως μὴ εὑρηκὼς ἐπί τινος αὐτὴν ἡδρασμένην, ἔφη· Ἐθεμελίωσε τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, ὡσανεὶ αὐτὴν ἐφ' ἑαυτὴν παρὰ σοῦ θεμελιωθεῖσαν, καὶ οὐχὶ ἐπί τινος.

Ὡς ἦν μὲν δυνατὸν διαγράψαι πεποιήκαμεν· ἔσωθεν ἔχοντα τὸ στερέωμα καὶ τὰ ὕψη τῆς γῆς τῆς μεσαιτάτης, ἧς νῦν κατοικοῦμεν. καὶ τὸν Ὠκεανὸν πέριξ αὐτῆς· καὶ ἐν αὐτῇ τοὺς τέσσαρας κόλπους εἰσβάλλοντας τοὺς πλεομένους, Ῥωμαϊκόν, Ἀραβικόν, Περσικόν, Κάσπιον, ἤτοι Ὑρκανίας. Πέριξ δὲ πάλιν τοῦ ὠκεανοῦ τὴν γῆν τὴν πέραν, ἔνθα καὶ ὁ παράδεισος κατὰ ἀνατολὰς κεῖται. Διαγράφομεν τοίνυν πάλιν τὸ πλάτος τέως τῆς γῆς καὶ τοῦ ὠκεανοῦ καὶ τῶν κόλπων καὶ τῆς πέραν γῆς, καὶ τὸν παράδεισον, ἐῶντες τέως τὰ ὕψη αὐτῆς, ὅπως εὐσύνοπτα γένηται τοῖς θεωμένοις. Ἔστι τὸ σχῆμα τῆς γῆς πάσης κατὰ ταύτην τὴν ἐπιφάνειαν καὶ τὸ πλάτος τοιόνδε.

Εἰς ταύτην τὴν γῆν τὴν πέραν τοῦ ὠκεανοῦ πανταχόθεν ἄκρα τοῖς ἄκροις ὁ οὐρανὸς ὁ πρῶτος ὁ καμαροειδὴς συνδέεται κατὰ μὲν τὸ δυτικὸν μέρος καὶ ἀνατολικὸν τοῖχος ὀρθὸς ὡς ἄνω ἐμβαίνων εὑρίσκεται· κατὰ δὲ τὸ νότιον καὶ βόρειον τοῖχος μὲν ἴσος τὸ κάτωθεν ἕως φανεροῦ κατὰ τὸν τύπον ἐντὸς καμάρας ἄνωθεν δὲ ὑψηλότατος ἑλισσόμενος ὡς θόλος λουτροῦ μεγάλη κάτωθεν πέλμα ἔχουσα τὴν γῆν· αὐτὸς δὲ τοῖχος καὶ καμάρα ὑπάρ-

χων εἶτα, καθὰ καὶ πρώην ἔφημεν πολλάκις, τὸ στερέωμα μέσα μέσοις ἐξηπλωμένον κατὰ τὸ ὕψος συνδέδεται αὐτῷ τῷ οὐρανῷ, ἵνα γένωνται δύο χῶροι, ἀνώγαιον καὶ κατώγαιον. Ἔστι δὲ ὁ χῶρος ὁ εἷς, τουτέστι τὸ κατώγαιον, ἔνθα εἰσὶν ἡ γῆ καὶ τὸ ὕδωρ καὶ τὰ λοιπὰ στοιχεῖα καὶ ἄστρα, ὁ κόσμος οὗτος ἀπὸ τῆς γῆς ἕως τοῦ στερεώματος· γῆν μὲν ἔχων ἔδαφος, τοίχους δὲ ἐκ τοῦ πρώτου οὐρανοῦ, στέγην δὲ τὸ στερέωμα. καὶ ἀπὸ τοῦ στερεώματος ἕως τῆς καμάρας τοῦ πρώτου οὐρανοῦ χῶρος δεύτερος, τουτέστιν ἡ βασιλεία τῶν οὐρανῶν, ἔνθα καὶ ὁ δεσπότης Χριστὸς ἀναστὰς ἀπὸ τῶν νεκρῶν ἀνελήλυθε. καὶ οἱ δίκαιοι μετὰ ταῦτα μέλλουσιν ἀνιέναι, οὐρανὸν μὲν ἤτοι τὸ στερέωμα ἔχων ἔδαφος, καὶ οὐρανὸν τὸν πρῶτον τοίχους, καὶ στέγην καμαροειδῆ. Διαγράφομεν πάλιν καὶ τὸ ὕψος καὶ σχῆμα ταύτης τῆς γῆς, ἧς νῦν οἰκοῦμεν οἱ ἄνθρωποι, ἥ ἐστιν ἔσωθεν τοῦ ὠκεανοῦ κυκλευομένη· ἐν ᾗ εἰσι καὶ οἱ τέσσαρες κόλποι οἱ πλεόμενοι· ἔστι δὲ τὰ ἀνατολικὰ αὐτῆς μέρη καὶ τὰ νότια χαμηλά, βόρεια καὶ δυτικὰ ὑψηλότατα· χθαμαλῶς καὶ ἀνεπαισθήτως κειμένη· ὅσον οὖν πλάτος ἔχει ἡ γῆ, τοσοῦτον ἔχει καὶ ὕψος κατὰ τὰ βόρεια καὶ δυτικὰ μέρη· ἔστιν οὖν κατὰ τὸ ἐνδεχόμενον διαγράψαι τὸ σχῆμα τοιόνδε.

Παραγραφή.

Ἡ γῆ μὲν πᾶσα τετράγωνός ἐστι καθὰ προεγράφη· τὸ ἀνάστημα δὲ αὐτῆς τῆς μεσαιτάτης καὶ τὰ ὕψη κατὰ τὰ βόρεια καὶ δυτικὰ μέρη ἐσημάναμεν ἐνταῦθα διαγράψαντες· ὅπως μέση τυγχάνουσα καὶ πέριξ ἔχουσα τὸν Ὠκεανόν, καὶ πάλιν πέριξ τὴν ἀντικρὺ γῆν τῶν ἄστρων κυκλευόντων αὐτήν, δύναται καὶ κῶνον ἀποτελεῖν τὴν σκιὰν κατὰ τοὺς ἔξω· καὶ ὅτι κατὰ τὸ σχῆμα τοῦτο δύνανται καὶ ἐκλείψεις τῆς σελήνης ἀποτελεῖσθαι καὶ νύκτες καὶ ἡμέραι· καὶ ἡ θεῖα Γραφὴ μᾶλλον ἀληθεύει λέγουσα· Ἀνατέλλει ὁ ἥλιος καὶ δύνει ὁ ἥλιος καὶ εἰς τὸν τόπον αὐτοῦ ἕλκει ἀνατέλλων αὐτὸς, ἐκεῖ πορεύεται πρὸς νότον καὶ κυκλοῖ πρὸς βορρᾶν. κυκλοῖ κυκλῶν καὶ ἐπὶ κύκλους αὐτοῦ ἐπιστρέφει τὸ πνεῦμα· ὡσανεὶ τὸν ἀέρα κυκλεύων· πάλιν εἰς τὸν τόπον αὐτοῦ ἐπανήξει.

Τὸ κείμενον.

Οὕτως οὖν ἐστιν ἐν ταύτῃ τῇ ὄψει τὰ οἰκούμενα αὐτῆς μέρη· ἀνατέλλων οὖν ὁ ἥλιος ἐξ ἀνατολῶν καὶ διατρέχων τὸν νότον

κατὰ τὰς τροπὰς πάντοτε πρὸς τὸ ὕψος τῆς γῆς, ἤτοι καὶ πρὸς αὐτὴν τὴν γῆν φαίνων, ποιεῖ νύκτα περαιτέρω τοῦ ὕψους τῆς γῆς κατὰ τὸν ὠκεανὸν καὶ τὴν πέραν γῆν· καὶ πάλιν πρὸς δυσμὰς καὶ βορρᾶν γινόμενος ὑπὲρ τὸ ὕψος τῆς γῆς· ἐνταῦθα ποιεῖ νύκτα· ἄχρις ἂν κυκλεύων ἀναφανῇ κατὰ τὰ χθαμαλὰ μέρη τῆς ἀνατολῆς, καὶ πάλιν ἀνιὼν κατὰ τὸν νότον καταλάμψῃ τόδε τὸ πᾶν. αἱ ἐκλείψεις οὖν τῆς σελήνης καὶ κατὰ σχῆμα τοῦτο, εἴγε ἀληθῆ τυγχάνει κατὰ τοὺς ἔξω, δύνανται γενέσθαι, ὑπὸ τὸ ὕψος τῆς γῆς γινομένου τοῦ ἡλίου ἤγουν τῆς σελήνης· τὴν γὰρ ἡλιακὴν ἔκλειψιν οὐκ ἀπὸ τῆς σκιᾶς τῆς γῆς γίνεσθαι λέγουσιν· ἀλλὰ ἀπὸ τοῦ κατὰ κάθετον ὑποκάτω εἶναι τοῦ ἡλίου τὴν σελήνην φωτιζομένην μᾶλλον τῷ μέρει ᾧ ὁρᾷ ὁ ἥλιος, ᾧ δὲ μὴ ὁρᾷ μὴ φωτίζεσθαι, ἀλλὰ μᾶλλον καὶ ἐμποδίζειν αὐτῷ μὴ φαίνεσθαι, διατρέχουσαν ὑποκάτω ὅτε νεουμηνία δῆθέν ἐστι σεληνίου, ὅτε καὶ ἀφώτιστος τυγχάνει κατὰ τὸ μέρος αὐτῆς τὸ φαινόμενον παρ' ἡμῖν. οὐδὲν οὖν τὰ ἡμέτερα παραβλάψει τὰ τοιαῦτα· πλὴν μόνου τοῦ κινεῖσθαι καὶ κυκλεύειν τὸν οὐρανόν· ὅπερ ἀνατροπή ἐστι πάσης ὁμοῦ τῆς θείας Γραφῆς Παλαιᾶς τε καὶ Καινῆς Διαθήκης καὶ τοῦ δόγματος τοῦ χριστιανικοῦ· ζητῆσαι δὲ περαιτέρω τούτων ἡμῖν οὐ σχολή· ἀνωφελὴς γὰρ ἡ τοιαύτη γνῶσις· τῆς ἐπωφελοῦς μᾶλλον γινόμενοι γνώσεως, ἥτις ἐλπίδα χρηστὴν καὶ ὠφελίμην ἐμποιεῖ ταῖς ἡμετέραις ψυχαῖς, ἣν καὶ ἐπηγγείλατο ὁ θεὸς διδόναι μᾶλλον τοῖς αὐτῷ πιστεύουσι· τοῖς δὲ ἀδικοῦσι δίκην ὀλέθριον. Δείξομεν δὲ σὺν θεῷ διαγράφοντες ἐξ ἀντιστρόφου τὸ σχῆμα τῆς γῆς τὸ κατὰ τὸ βόρειον μέρος, ἵνα δυνηθῶμεν ἐκ μέρους πάλιν διαγράψαι τῶν ἄστρων τὸν κύκλον· ἔστιν δὲ οὕτως·

Ἡνίκα οὖν ἔνθεν δύνων ὁ ἥλιος διατρέχει κατὰ τὴν διακονίαν τῶν ἀοράτων δυνάμεων, καθὰ τῇ θείᾳ Γραφῇ δοκεῖ, νύκτα κατὰ τὸ ἕτερον μέρος τουτέστι τὸ οἰκούμενον ποιεῖ, ἡνίκα δὲ ἐκεῖθεν διατρέχει, ἐνθάδε νύκτα ποιεῖ· συλλήβδην δὲ κατὰ τὸ ἐνδεχόμενον πάλιν διαγράψομεν τὸν οὐρανὸν καὶ τὴν γῆν· ἔστιν δὲ οὕτως·

Παραγραφή.

Τοῦτο πάλιν τὸ μέρος τῆς γῆς τὸ ἐπέκεινα τοῦ βορρᾶ ἔστιν ἀοίκητον· ἔνθα διατρέχουσιν ἀπὸ δύσεως διὰ τοῦ βορρᾶ ἐπὶ ἀνατολάς,

ὀρθὸν ὡς ἐπὶ τοίχου ὑπάρχον. ἐν ᾧ γινόμενος ὁ ἥλιος εἰς τὸ ἄλλον μέρος αὐτῆς τὸ οἰκούμενον νύκτα ἀπεργάζεται· κατὰ διάμετρον οὖν τοῦ πλάτους τῶν οἰκουμένων αὐτῆς μερῶν εὑρίσκεται ὕψος ἔχουσα ἐν τούτῳ τῷ μέρει ἀποκάτωθεν τοῦ ὠκεανοῦ ἕως ἄνω τοῦ ὕψους αὐτῆς. Ὅθεν μεσάζουσα τῷ φωτὶ τῶν ἄστρων αἱ νύκτες καὶ τὰ ἄλλα πάντα ἐπακολουθοῦσιν.

Καὶ ταῦτα μὲν ὡς ἐνεδέχετο διαγραφῆναι πεποιήκαμεν ἀκολουθοῦντες τῇ θείᾳ Γραφῇ. Διαγράφομεν τοίνυν καὶ κατὰ τοὺς ἔξω τὴν σφαῖραν.

№ 540 (**1184**).

Рукопись на пергаминѣ въ листъ: [XIII вѣка; лл. 287; по 27 строкъ *А*] [XI вѣка *Г*] [270×195; 210×145; XII вѣка. Содержаніе:

1) л. 1ᵃ ᵇ (заст.) Σευηριανοῦ ἐπισκόπου Γαβάλων εἰς τὸν ἄνθρωπον.

Τοῦ ἀνθρώπου ἡ προσηγορία... τετήρηται.

2) л. 1ᵇ Τὰ τῶν ζώων ἴδια ἢ μᾶλλον ἑκάστου εἴδους ἴδια :·

Ἄνθρωπος γελαστικὸν... ἡ ἀηδών:—

3) лл. 1ᵇ—2ᵃ Ἡρακλέους ἆθλα:—

4) лл. 2ᵃ—4ᵃ.] Ἐκ τοῦ μακαρίτου κυροῦ Θεοφάνους ἡγουμένου τοῦ Μεγάλου Ἀγροῦ καὶ ὁμολογητοῦ μέρος τι ἀπὸ τοῦ χρονικοῦ αὐτοῦ, ἀρχόμενον ἀπὸ τῆς βασιλείας Διοκλητιανοῦ ἔτους ͵εψοζʹ μέχρι τῆς βασιλείας Μιχαὴλ καὶ Θεοφυλάκτου τοῦ υἱοῦ αὐτοῦ ἔτους ͵ςτ[ ]ʹ.

5) [съ л. 4ᵃ Τὴν ἱστορίαν τῶν χρόνων ἀρξαμένην.

Ἀφ' οὗ τὸ πᾶν ἔσχηκε σύστασις τόδε.
Καὶ πρὸς χρόνους φθάσασαν Ἰσαακίου.
Ὃς πρῶτος ἔσχε Κομνηνῶν σκῆπτρον κράτους.
Γράμμασιν ὧδε συνέλεξεν ἰδίοις.
Γεώργιος πρόεδρος ὢν ἐκ τῆς Κέδρου.
Ἄγνωστα πολλοῖς ἐκ γραφῶν διαφόρων.
Ταύτῃ συνάψας φίλα φιλομαθέσιν.

Σύνοψις ἱστοριῶν ἀρχομένη ἀπὸ κτίσεως κόσμου μέχρι τῆς

βασιλείας Ἰσαακίου τοῦ Κομνηνοῦ συλλεγεῖσα ἐκ διαφόρων βιβλίων παρὰ Γεωργίου τοῦ Κεδρηνοῦ:—

Πολλοὶ τῶν πρὸ ἡμῶν...

кончается: на recto послѣдн. листа:

(in m. ὁ ἅγιος Βασίλειος) Τῷ δ' αὐτῷ ἔτει καὶ Βασίλειος ὁ τῆς Καισαρέων ἐπισκόπησεν ἐκκλησίας τοῦ Εὐσεβίου εὐσεβῶς κοιμηθέντος. τῷ ι' ἔτει Ἀμβρόσιος μετὰ Εὐδόξιον τῆς ἐκκλησίας Μεδιολάνων ἡγήσατο... ἐξαιτησάμενος ὁ λαὸς ἐβάπτισε καὶ ἐπίσκοπον Μεδιολάνων ἐποίησεν.

Дальше 11 строкъ пустыхъ и весь оборотъ послѣдняго листа пустой (есть помарки).]

№ 540.

Рукопись на пергаминѣ въ листъ: Ἐκ τοῦ μακαρίτου κυροῦ Θεοφάνους ἡγουμένου τοῦ Μεγάλου Ἀγροῦ... (какъ выше) [Но такой рукописи нѣтъ въ Синайскомъ монастырѣ, а разумѣется все та же выше упомянутая, какъ показываетъ и] выписка [принадлежащая № **1184** лл. 2^a—4^a]:

Ἐπὶ τῆς βασιλείας Μαξιμιανοῦ τοῦ Γαεριανοῦ (Θεότεκνος) τὰ ὑπομνήματα τοῦ Χριστοῦ καὶ σωτῆρος ἐπλάσατο καὶ πανταχόθεν ἀπέστειλε· καὶ τοῖς γραμματοδιδασκάλοις τοὺς παῖδας διδάσκειν προσέταξεν, ὡς διαγελάσθαι τὸ καθ' ἡμᾶς μυστήριον παρασκευάζων [здѣсь пустое мѣсто] ὁ δυσσεβὴς .... χειρὸς αὐτοῦ παρεθείσης:—

Послѣ этого краткаго сказанія о порчѣ евангельскихъ книгъ непосредствено слѣдуетъ въ рукописи:

[лл. 2^b—4^a] Εἰς τὸν ἅγιον Εὐσέβιον. Περὶ οὗ καὶ ὁ θεολόγος Γρηγόριος φησί· ζητῶ μοῦ τὸ χθὲς ἡμῶν σφάγιον τὸν ἀβραμιαῖον γέροντα:

Ἐπὶ τῆς βασιλείας Ἀναστασίου τοῦ Σελεντιαρίου Ματρῶνα δὲ ἡ ὁσία ἔτι ζῶσα καὶ μὴ κοινωνοῦσα σὺν ταῖς σὺν αὐτῇ ἀσκητρίαις διὰ τὸ Ἑνωτικὸν Ζήνωνος παράδοξα πολλὰ ἐνεδείξατο, Χρυ-

σαυρίου διακόνου τῆς ἐκκλησίας αὐτὴν ἀναγκάζοντος. Καὶ ἄλλη δέ τις Σοφία, ἐπίσημος ἐν μοναζούσαις, πολλὰ παθοῦσα ὑπομονὴν ἐνεδείξατο. Ὁ δ' αὐτὸς βασιλεὺς Ἀναστάσιος ἀνέστειλε τὸ χρυσάργυρον καὶ τὰ κυνήγια, καὶ τὰς ἀρχὰς ὠνίους οὔσας δωρεὰν προεβάλλετο.

Λύσας τὴν εἰρήνην ὁ ἔκγονος τοῦ Ἡρακλείου Ἰουστινιανὸς μετὰ Ἀβιμέλεχ τοῦ τῶν Ἀρράβων βασιλέως, ἀπέστειλεν Ἀβιμέλεχ οἰκοδομῆσαι τὸν τοῦ Μαχᾶ ναόν, καὶ ἠθέλησεν ἐπᾶραι τοὺς κίονας τῆς ἁγίας Γετθσημανῆς. Καὶ παρεσκεύασεν αὐτὸν Σέργιός τις χριστιανικώτατος ὁ τοῦ Μανσοὺρ γενικὸς λογοθέτης καὶ λίαν ᾠκειωμένος τῷ αὐτῷ Ἀβιμέλεχ, καὶ Πατρίκιος ὁ τούτου ἐφάμιλος τῶν κατὰ τὴν Παλαιστίνην χριστιανῶν προῦχων, ᾧ ἐπίκλην Σκλάβος· αἰτούμενοι μὴ γενέσθαι τοῦτο· ἀλλὰ δι' ἱκεσίας αὐτῶν πεῖσαι Ἰουστινιανὸν ἀποστεῖλαι ἄλλους ἀντ' αὐτῶν· ὅπερ καὶ γέγονεν.

Ἀναγκαῖον δὲ ἡγοῦμαι καὶ Ἰωάννου τοῦ ἐπίκλην Μανσούρ... Οὗτος γὰρ ὁ Σέργιος τῶν ἐπὶ Μαυΐᾳ αἰχμαλωτισθέντων ἀπὸ Ῥωμανίας τινὸς ἀπελευθερωθέντος καὶ ὀνομασθέντος Μανσοὺρ υἱὸς ἐγένετο. Μανσοὺρ δὲ κατὰ τὴν Ἀρράβων φωνὴν ἑρμηνεύεται, λελυτρωμένος. Οὗτος τὸν ἑαυτοῦ παῖδα Σέργιον γράμμασιν ἐκπαιδεῦσαι ἑλληνικοῖς καὶ ἀραβικοῖς, τῷ κατὰ καιρὸν γενικῷ λογοθέτῃ τῶν Ἀρράβων παρέδωκε, χριστιανικῷ ὄντι ἀνδρί, ὅστις θνήσκων μαρτυρεῖ μὴ εἶναι τὸν ἐπιτηδείως ἔχοντα πρὸς τὸ πρᾶγμα τοῦ γενικοῦ λογοθεσίου μᾶλλον αὐτοῦ ἢ ἶσον. Ὅθεν αὐτὸν τῆς ὅλης Ἀρράβων ἐξουσίας ἐμπιστευθεὶς τὴν διοίκησιν, καὶ χάριν ὡς Ἰωσὴφ λαβὼν ἀπὸ θεοῦ κυρίου ἐν πᾶσιν ὑπακούεσθαι, πρὸ πάντων τὴν φιλολογίαν ἀνακαινίζεται, μέλλουσαν ἐκλιμπάνειν τῶν κατὰ τὴν ἑῴαν ἐκκλησιῶν. καὶ ἀναζητήσας διδασκάλους, εὗρεν οἵους οὐκ ἦν ἄλλους εὑρεῖν ἴσους αὐτῷ.

καὶ πᾶσαν αὐτοῦ τὴν οὐσίαν προέτεινεν αὐτοῖς, κυρίους καὶ πατέρας αὐτοὺς ἀποκαλῶν, καὶ τὴν παίδευσιν ἀφθόνως μετέδωκε τοῖς τέσσαρσιν υἱοῖς αὐτοῦ Ἰωάννῃ, Θεοδώρῳ, Ἡλίᾳ τε καὶ Θεοδοσίῳ, καὶ τοῖς σὺν αὐτοῖς, κατὰ κέλευσιν Ἀβιμέλεχ χριστιανῶν τέκνων πτωχῶν τε καὶ πλουσίων παραγινομένων εἰς τὸ παιδευθῆναι. τοῦ Σεργίου ἐξ οἰκείων ἀναλωμάτων συναθροίσαντος πλῆθος βιβλίων παντοίων τεχνῶν καὶ ἐπιστημῶν. καὶ μνήμης ἄξιον ἔργον τοῖς μετέπειτα καταλιπόντος εἰ βούλοιντο ζηλῶσαι. Ὁ δὲ Κοπρώνυμος Κωνσταντῖος τὸν μὲν Θεόδωρον τοῦ Μανσοὺρ ἐπὶ τῆς βασιλείας αὐτοῦ ἐξώρισεν εἰς τὰ κλίματα τῆς ἐρήμου, Γαλὴδ δὲ τὸν ἁγιώτατον Πέτρον μητροπολίτην Δαμασκοῦ γλωσσοτομηθῆναι ἐκέλευσε καὶ ἐξορισθῆναι κατὰ τὴν Εὐδαίμονα Ἀρραβίαν, ἔνθα καὶ μαρτυρικῶς τελειοῦται, ὡς ἀναφανδὸν ἐλέγχων τὴν τῶν Ἀρράβων καὶ Μανιχαίων δυσσέβειαν. Τούτου ζηλωτὴς καὶ ὁμώνυμος Πέτρος κατὰ τὸν Μαϊουμᾶν ἐν τοῖς αὐτοῖς ἀναδειχθεὶς χρόνοις μάρτυς ὑπὲρ Χριστοῦ αὐτόμολος· ἀρρωστήσας γὰρ καὶ προσκαλεσάμενος τοὺς τῶν Ἀρράβων προύχοντας, ἅτε συνήθεις ὄντας αὐτῷ χαρτουλορίῳ τελοῦντι τῶν δημοσίων φόρων, φησὶ πρὸς αὐτούς. «Πᾶς ὁ μὴ πιστεύων εἰς πατέρα καὶ υἱὸν καὶ ἅγιον πνεῦμα, τὴν ὁμοούσιον καὶ ζωαρχικὴν ἐν μονάδι τριάδα πεπήρωται τὴν ψυχὴν καὶ τῆς αἰωνίου κολάσεως ἀξιοῦται. τοιοῦτος καὶ ὁ ψευδοπροφήτης ὑμῶν Μωάμεθ, καὶ τοῦ ἀντιχρίστου πρόδρομος. ἀπόστητε οὖν, εἰ ἐμοὶ πείθεσθε. Μαρτύρομαι ὑμῖν σήμερον τὸν οὐρανὸν καὶ τὴν γῆν τῆς ἐκείνου μυθολογίας· εὐνοῶ γὰρ ὑμῖν, ἵνα μὴ σὺν ἐκείνῳ κολασθῆτε». Ταῦτα καὶ ἄλλα πολλὰ πλεῖστα θεολογῶν καὶ μεγάλῃ τῇ φωνῇ ἀναθεματίζων τὸν Μωάμεθ καὶ τὴν μυθογραφίαν αὐτοῦ, τὴν διὰ ξίφους τιμωρίαν ὑπέστη. Τοῦτον ἐγκωμίοις λόγων τετίμηκεν ὁ ὅσιος πατὴρ ἡμῶν Ἰωάννης, ὁ καλῶς ἐπικληθεὶς χρυσορόας διὰ τὴν ἐπενθοῦσαν αὐτῷ τοῦ

πνεύματος ἔν τε λόγῳ καὶ βίῳ χρυσαυγῆ χάριν· ὃν Κωνσταντῖνος ὁ δυσσεβὴς βασιλεὺς ἐτησίῳ καθυπέβαλεν ἀναθέματι διὰ τὴν ὑπερβάλλουσαν αὐτοῦ ὀρθοδοξίαν. καὶ ἀντὶ τοῦ παππικοῦ αὐτοῦ ὀνόματος Μανσούρ, ὃ ἑρμηνεύεται λελυτρωμένος, μακαρίζων· ἰουδαϊκῷ φρονήματι μετονομάσας τὸν νέον τῆς ἐκκλησίας διδάσκαλον :·

Далѣе всю рукопись наполняетъ исторія Георгія Кедрина отъ начала міра до царствованія Исаака Комнина.

№ 541 (**1625**).

Въ Синаеджуванійской библіотекѣ въ Каирѣ.

Χρονικὸν τοῦ Γεωργίου ἁμαρτωλοῦ, [рукопись бумажная, 1600 года, лл. 288 (299×207; 205×140) по 28 строкъ; содержитъ

лл. 1ª—11ᵇ + Ἱστορία χρονικὴ Γεωργίου μοναχοῦ +

Πίναξ τοῦ παρόντος βιβλίου:—

Самая исторія, начинается съ

лл. 12ª—13ª Πρόλογος χρονικῆς ἱστορίας Γεωργίου μοναχοῦ:— Προοίμιον.

Πολλοὶ μὲν τῶν ἔξω φιλολόγοι... δυνάμιν:—

Τέλος τοῦ προοιμίου:—

и затѣмъ уже

лл. 14ª—286ᵇ Χρονικὸν σύντομον ἐκ διαφόρων χρονογράφων τε καὶ ἐξηγητῶν συλλεγὲν καὶ συντεθὲν ὑπὸ Γεωργίου ἁμαρτωλοῦ μοναχοῦ:—

Съ записью:

Ὥσπερ ξένοι χαίροντες, ἰδεῖν πατρίδαν· καὶ οἱ θαλαττεύοντες φθάσουσιν εἰς λιμένα· οὕτω καὶ οἱ γράφοντες, ἰδεῖν βιβλίου τέλος:]

Ἐτελειώθη ἡ παροῦσα βίβλος διὰ χειρὸς οἰκτροῦ τάχα καὶ θύτου Ἰωάννου, τοῦ Κυνηγοῦ: — ἐν μηνί, φαρμουθίῳ· κε΄ :· τῷ ἀπὸ Χριστοῦ ἔτει ͵αχ΄: — ἰνδικτιῶνος ιγ΄.

№ 542 (**1190**).

Рукопись на бумагѣ in 4⁰ [205×142; 170×110; по 26 строкъ; лл. 255, но лл. 1—3 и 255 пустые, при переплетѣ]. Почеркъ не очень старинный [XVI вѣка]. Въ концѣ мистическими буквами приписано: Θεοῦ τὸ δῶρον καὶ πόνος Διονυσίου. Этотъ Діонисій — переписчикъ. Замѣчательно, что тутъ вмѣсто ἵνα пишется νὰ ἔλθῃ. [Содержаніе:

1) лл. 4ª—12ᵇ. Πίναξ ἀκριβεῖς τοῦ παρόντος βιβλίου περιέχων χρονογραφικὴν ἐξήγησιν ἀπὸ κτίσεως κόσμου ἕως τῆς βασιλείας Ἀλεξίου τοῦ Κομνηνοῦ καὶ ὀρθοδόξου:—

α΄. Ἀρχὴν ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν καὶ τὴν γῆν:—

β΄ Περὶ τοῦ δευτέρου οὐρανοῦ ἤγουν τὸ στερέωμα: —

. . . .

ϟ΄. Κατασκευῆς Ῥώμης ὑπὸ Ῥωμύλου:—

α΄. Βασιλεὺς α΄ Ῥώμης Ῥώμυλος ὁ κατασκευάσας αὐτήν:—

. . . .

ε΄ Κυβέρνησις Ῥώμης παρὰ τοῦ δήμου:—

Τῆς πρεσβυτέρας Ῥώμης οἱ βασιλεῖς:—

α΄. Πρῶτος βασιλεὺς Ῥώμης Γάϊος Καίσαρ:—

. . . .

ος΄ ις΄ βασιλεὺς Ῥωμαίων Ἀναστάσιος ὁ Δίκορος ἔτη κζ΄ μῆνας:—

Далѣе нумерація идетъ только для византійскихъ императоровъ, кончая

ϟδ΄. Βασιλεὺς Ῥωμαίων Κωνσταντῖνος Παλαιολόγος ὁ Δράγασις ἀδελφὸς αὐτοῦ ἔτη ὃς καὶ ἔχασε τὴν πόλιν:—

Ἐν δὲ τῷ ,ςϠξα΄ ἔτει ἰνδικτ. α΄ μηνὶ μαΐῳ κθ΄ ἡμέρᾳ γ΄ ἐπάρθη ἡ Κωνσταντινούπολις ὑπὸ τῶν Ἰσμαηλιτῶν:—

. . . . .

Ὁ δὲ Θωμᾶς ἐπῆγεν εἰς τὴν Ῥώμην καὶ ἐκεῖ ἐτε-

λεύτησεν καὶ οὕτως ἐτελειώθη παντελῶς ἡ ἀρχὴ τῶν Ῥωμαίων:— τέλος:—

2) лл. 13[a]—14[b] Ἕτερον συνοπτικότερον τοὺς βασιλεῖς μόνων τῆς Κωνσταντινουπόλεως ὅπου ἐβασίλευσαν εὐσεβῶν καὶ ἀσεβῶν:

α΄. Βασιλεὺς πρῶτος Κωσταντῖνος εὐσεβὴς ἔτη λδ΄ μῆνας δ΄:

. . . .

ϟδ΄. Βασιλεὺς Ῥωμαίων Ἰωάννης ὁ Παλαιολόγος ὁ υἱὸς αὐτοῦ ἔτη:—

л. 15[a-b] пустой.

3) лл. 16[a]—246[b] (заст.)] Βιβλίον περιέχον χρονογραφικὴν ἐξήγησιν ἀπὸ κτίσεως κόσμου [μέχρι Διοκλητιανοῦ τοῦ βασιλέως· καὶ ἀπ' αὐτοῦ ἄρχεται τὸ δεύτερον βιβλίον] ἕως τῆς βασιλείας Νικηφόρου τοῦ Βοτανειάτη:

[а) лл. 16[a]—68[b] Βιβλίον α΄.]

Ἀπ' ἀρχῆς ἐποίησεν ὁ θεὸς τὸν οὐρανὸν χωρὶς ἄστρων... [оканчив.: ... Καὶ ἦσαν ὥσπερ σκύλοι λυσιασμένοι ἀπάνω εἰς τὰς ἐκκλησίας καὶ εἰς τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ. *А*]

[б) лл. 68[a]—246[b] Βιβλίον χρονικὸν δεύτερον· ἀρχόμενον ἀπὸ τῆς βασιλείας Διοκλητιανοῦ καὶ Μαξιμιανοῦ ἕως τῆς βασιλείας Νικηφόρου τοῦ Βοτανειάτη:—

κγ΄ Βασιλεία Ῥωμαίων Διοκλητιανὸς καὶ Μαξιμιανοῦ:— Διοκλητιανὸς ὁ βασιλεὺς Ῥωμαίων Ἕλλην ὢν...]

Βασιλεία Ἡρακλείου τοῦ Καππαδόκου. ἔτη λ΄.

Καὶ προσεγέλασεν ἡ βασιλεία εἰς τὸν Ἡράκλειον τὸν Καππαδόκην, ἄνθρωπον εὐγενῆ καὶ βαθὺ πλοῦτον, στρατηγὸν ἄριστον καὶ φρονημώτατον. Εἶχεν δὲ καὶ υἱὸν ὀνόματι Κωνσταντῖνον.

Μάχη Χοσρώου βασιλέως Περσῶν κατὰ Ῥωμαίων.

Спустя нѣсколько строкъ, гдѣ говорится о походѣ Хозроя, сказано: ὅρα γνῶσιν φρονιμωτάτην καὶ ἀγαθὴν πίστιν τοῦ βασιλέως· τὴν γὰρ πόλιν καὶ τὸν υἱὸν τοῦ καὶ τὸν λαὸν παρέδωκεν αὐτοὺς εἰς τὴν ὑπεραγίαν θεοτόκον. Это написано кино-

варью на полѣ манускрипта, но помѣщено и въ текстѣ его.

[Хроника кончается:

> . . . ἀμὴ ὁ σκοπός του ἦτον εἰς τοὺς παραδιαβασμοὺς καὶ εἰς τὰς τοιαύτας δουλείας ὅπου ἐδηλώσαμεν. ᾧ ἡ δόξα καὶ τὸ κράτος εἰς τοὺς αἰῶνας τῶν αἰώνων ἀμήν: — τέλος καὶ βίβλος αὐτοκρατόρων πράξαι: ἕως ὧδε εἶχεν τὸ αθιβολεον μόνον.

4) Запись:

> + αχ ψλ̀ ςσ̃ϖλν πθὴ κλ'νλω ςηλχωηχ· ωσαεη λ' ζϖθ'ψθω· ἐοεβαεη λ' ἔυλν: 'θξβ'ν:

чтеніе которой раскрыто въ припискѣ позднѣйшей руки на л. 247^а:

> Θεοῦ τὸ δῶρον καὶ πόνος Διονυσίου· σωθῇ ὁ γράψας· ἐλεηθῇ ὁ ἔχων ἀμήν.

л. 247^{а—b} пустой.

5) лл. 248^а—249^b Ἕτερον βασιλογράφη συνοπτικὸν διὰ στίχων τῆς τῶν Ῥωμαίων ἀρχῆς· ὀρθοδόξων καὶ ἀσεβῶν· ἀρχόμενον ἀπὸ τοῦ εὐσεβεστάτου Κωνσταντίνου τοῦ βασιλέως μέχρι Μιχαὴλ τοῦ Παλαιολόγου καὶ στρατηγοτάτου:—

> Τῶν χριστιανῶν βασιλεῖς μοι σκόπει:—
> α'. Κωνσταντῖνος πρώτιστος...

6) л. 249^b Ἡ δήλωσις τῆς κτίσεως τῆς Κωνσταντινουπόλεως:—

7) лл. 249^b—251^а Περὶ τῶν ζ' ἁγίων καὶ οἰκουμενικῶν συνόδων...

8) л. 251^{а—b} Χρονικὸν συνοπτικὸν ἀπὸ τοῦ Ἀδάμ:—

9) л. 252^{а—b} Περὶ τῶν βασιλέων συνοπτικὸν πόσους χρόνους ἔζησαν ὁ καθείς:—

10) лл. 252^b—254^b (рукой XVII вѣка) лунникъ (безъ заглавія):

> Αἱ ἡμέραι πεφωτισμέναι τῆς σελήνης...]

№ 543.

Хронографъ Манассіи, на бумагѣ in 16°.

№ 544 (**1191**).

Рукопись на бумагѣ in 4⁰ новая [XVIII вѣка *Г*] [XVII вѣка, лл. 270, по 29 строкъ *А*]

Ἱστορία διαλαμβάνουσα τὰ ἐν τῷ ἁγίῳ θεοτιμήτῳ καὶ θεοδοξάστῳ ὄρει Σινᾶ γενόμενα, παλαιά τε καὶ νέα τεράστια θαύματα, ἀρχίζουσα ἀπὸ τὸν καιρὸν τοῦ προφήτου Μωϋσέως καὶ τελειώνουσα ἕως τῆς βασιλείας τοῦ σουλτὰν Σελίμη τοῦ παλαιοῦ, καὶ μικρόν τι κάτωθεν ἀκόμι, συντεθεῖσα εἰς κοινὴν γλῶσσαν, διὰ νὰ ἀκούεται ἀπὸ κάθε ἄνθρωπον Ἕλληνα.

[Раздѣлена на четыре отдѣла (λόγοι), изъ которыхъ первые три описываютъ Синайскій монастырь, а четвертый — политическое состояніе Египта отъ Фараоновъ до султана Селима.

Предисловіе начинается:

> Ἐκεῖνοι ὅλοι ὅσοι ἔγραψαν ἱστορίας μετὰ τὸν Μωυσῆν φαίνονται νὰ ὠφέλησαν μέρος τι τοὺς ἀνθρώπους...

Оканчивается трудъ словами статьи о монастырскихъ рабахъ:

> ...ὅμως δὲν ἠξεύρω ἢ τοῦ Σάλεχ ὁποῦ εἴπομεν πρότερον ἢ ἄλλου τινὸς Σάλεχ καὶ αὐτοῦ ὀνομαζομένου. *А*]

№ 545.

Περιγραφὴ τοῦ Κιτάϊ παρὰ τοῦ ἄρχοντος Σπαθάρη κυροῦ Νικολάου.

№ 546 (**1767**).

В библіотекѣ Синаеджуванійскаго подворья въ Каирѣ.

Рукопись на бумагѣ въ листъ, XVIII вѣка [225×167; страницъ 449].

Γεωργίου τοῦ Φραντζῆ μεγάλου λογοθέτου τῆς ἐν Κωνσταντινουπόλει ποτὲ βασιλείας Ῥωμαίων χρονολογικόν, ἀρχόμενον ἀπὸ τῆς βασιλείας τῶν Παλαιολόγων μέχρι τῆς ἁλώσεως αὐτῆς τῆς Κωνσταντινουπόλεως καὶ τέλους τῆς τῶν Ῥωμαίων βασιλείας:—

Ὁ τῆς ἀρχῆς ἐπιβήτωρ Ἀλέξιος Ἄγγελος ὁ Κομνηνός, ὁ τυφλώσας τὸν ἀδελφὸν Ἰσαάκιον Ἄγγελον, καὶ τὴν βασιλείαν λαβών...

№ 547 (**1821**).

Въ той же библіотекѣ.

Μελετίου μητροπολίτου Ἀθηνῶν Ἱστορία ἐκκλησιαστική. Хорошая рукопись [XVIII вѣка, in 4⁰, поднесенная 1 августа 1718 года патріарху Іерусалимскому Кириллу племянниками автора: Ἀναστάσιος ἱερεὺς Βασιλείου ἱερέως ὁ ἐξ Ἰωαννίνων и Ἀλέξιος Σπανὸς ὁ ἐξ Ἰωαννίνων.]

№ 548 (**1849**).

Въ той же библіотекѣ.

[Рукопись 1673 года, на лл. 209, но лл. 1—8, 200—209 пустые (206×156); содержитъ:

1) лл. 9ᵃ—190ᵇ] Ἱστορία, ἤτοι διήγησις περὶ τῆς ἀρχῆς τῶν Ῥωσσῶν· πόθεν κατάγονται οἱ ἀρχηγοὶ αὐτῶν· καὶ περὶ τοῦ, πότε καὶ πῶς ἔλαβον τὸ ἅγιον βάπτισμα, καὶ περὶ τοῦ ἁγίου ἀποστόλου Ἀνδρέου, ὁποῦ ἦλθε σωματικῶς εἰς τὴν Ῥωσσίαν καὶ ἐκήρυξεν τὸ θεῖον κήρυγμα. — Μεταφρασθὲν δὲ καὶ συλλεχθὲν ἐν συντομίᾳ ἐκ τῶν Σλαβικῶν βιβλίων παρὰ Διονυσίου ῥακενδύτου καὶ μεγάλου ἀρχιμανδρίτου τῶν Ἰβήρων εἰς τὴν ἡμετέραν διάλεκτον κατὰ τὸ ͵αχξη′ ἔτος Χριστοῦ.

τίτλος α′. Ὁ ἅγιος ἀπόστολος Ἀνδρέας...

...[л. 10ᵃ] Οὗτος ὁ Ὄλεγος πολλοὺς τόπους ἐκατατρόπωσεν καὶ κατὰ τῆς Κωνσταντίνου βασιλευούσης πόλεως ἤγειρεν μέγαν πόλεμον, καὶ πολλὴν φθορὰν τῶν Ῥωμαίων ἐποίησεν ἐπὶ τῆς βασιλείας Λέοντος τοῦ σοφωτάτου καὶ Ἀλεξάνδρου ἀδελφοῦ αὐτοῦ ἐν ἔτει 6415, καὶ φόρους ἐξ αὐτῶν ἔλαβεν.

... Εἰς τὸ ιβ′ ἔτος τῆς βασιλείας Λέοντος τοῦ Σοφοῦ υἱοῦ Βασιλείου τοῦ Μακεδόνος μετὰ τριάκοντα ἔτη, ἀφ᾽ οὗ ἐβαπτίσθησαν οἱ Βούλγαροι, ἐμεταγλωττί-

σθη τὸ ἱερὸν εὐαγγέλιον εἰς τὴν σλαβαϊκὴν διάλεκτον, ὁμοῦ καὶ ὁ ἀπόστολος.

[На л. 190^{a-b} окончаніе:... ἐστεύθη βασιλεὺς ὁ εὐσεβέστατος καὶ συνετώτατος υἱὸς αὐτοῦ Ἀλέξιος Μιχαηλοβίτζης διὰ χειρὸς Ἰωσὴφ πατριάρχου Μοσχοβίας ἐν ἔτει 7153, τοῦ ὁποίου τὰς ἀρετὰς τὴν σύνεσιν τὰς ἀνδραγαθίας τὰς λοιπὰς ἀγαθοεργίας ἀφήνομεν ἄλλοις γράψαι εἰς τὸ μετέπειτα. πέρας τοῦ λόγου ὧδε ἡμεῖς ποιοῦμεν τῇ συντομίᾳ χρώμενοι:— Τέλος τῆς ἱστορίας τῶν Ῥωσσῶν· τῷ δὲ θεῷ δόξα εἰς τοὺς αἰῶνας. ἀμήν:—

2) лл. 190^{b}—198^{b}] Послѣ Россійской исторіи слѣдуетъ:

1660

Περὶ τῆς Ἰβηρίας· πόσαις αὐθεντίαις εὑρίσκονται τὴν σήμερον εἰς αὐτήν.

Въ концѣ сказано:

Ταῦτα πάντα τὰ ἄνωθεν γεγραμμένα τῆς Ἰβηρίας ἕως ὧδε τὰ ἐπαράδοσεν ὁ μακαριώτατος πατριάρχης Ἀντιοχείας κῦρ Μακάριος ἡμᾶς τοιουτοτρόπως, ὁ ὁποῖος τὰ ἐγύρισεν ὅλα καὶ τὰ οἶδεν ὀφθαλμοφανός [Τέλος καὶ τὰ τῆς Ἰβηρίας μερικῶν διηγήσεων τῶν ὧδε γεγραμμένων:—

далѣе зачеркнуто дважды написанное:

κατὰ τὸ ,αχογ΄ ἔτος Χριστοῦ τοῦ θεοῦ ἡμῶν:—]

— Изъ статьи о Грузіи выписка объ иконахъ:

Въ Имеретіи: [л. 191^{a}]...Ἡ δευτέρα ἐπισκοπὴ λέγεται Κενατέλη, θαυμασιώτατον μοναστήριον καὶ ὡραῖον, ἡ ὁποῖα ἔχει τὴν εἰκόνα, ὁποῦ ἐζωγράφισεν ὁ εὐαγγελιστὴς Λουκᾶς, τῆς ὑπεραγίας θεοτόκου, ὡς καθὼς αὐτοὶ λέγουσιν, ἔχει ἀκόμη μίαν εἰκόνα τοῦ ἁγίου μεγαλομάρτυρος Γεωργίου, καὶ εἶναι τζαμπλομένη καὶ σκεπασμένη ὅλη ἀπὸ τὰ τριάκοντα ἀργύρια, ὁποῦ ἐπώλησεν ὁ παράνομος Ἰούδας τὸν Χριστόν...

Въ Кахетіи: [л. 192^{a}] .. Εἶναι οἱ Ἰακωβῖται, ὁποῦ ὀνομάζονται Χεψοῦροι, ὁμοίως εἶναι καὶ ἄλλη φυλὴ ὁποῦ λέγεται Τοῦ-

χοι, καὶ εἶναι χριστιανοὶ καθολικοί. Εἶναι καὶ ἄλλη φυλὴ ὁποῦ λέγονται Δίδο, καὶ ἑτέρα ὁποῦ λέγεται Καίστη...

Въ Мингреліи: [л. 195^b]... Ἡ τρίτη ἐπισκοπὴ λέγεται Πεδιέλος. Ἔχει τὴν εἰκόνα τῆς παναγίας ὁποῦ λέγεται ἡ ἐν Βλαχέρναις, καὶ τὸ πρόσωπον της καὶ τὰ χέρια εἶναι ὡσὰν σάρκα, καὶ ὀνομάζεται Πεδιέλος.

3) лл. 198^b—199^b Τοῦ ἀσεβεστάτου Ἰωσαπαΐ Σεβῆ τοῦ υἱοῦ τῆς ἀπωλείας ἐπιστολὴ ἣν ἔστελνε πρὸς τοὺς Ἑβραίους:—

Πρὸς τοὺς ἁπανταχοῦ υἱοὺς τοῦ Ἰσραὴλ... καὶ τέρψιν ὑμῶν:—

Τέλος εἴληφεν ὧδε καὶ τὴν κακήν του καὶ τὴν ψυχρήν του ἡμέραν. Ἡ ἀπογραφή:— Ὁ μονογενὴς καὶ πρωτόκλητος υἱὸς τοῦ θεοῦ Ἰωσαπαΐ Σεβῆ ὁ μεσίας:—

Ἐμεταγλωττίσθη ἡ παροῦσα ἐπιστολὴ ἀπὸ τὸ ἑβραϊκὸν εἰς τὴν ῥωμαϊκὴν διάλεκτον ἐν ἔτει σωτηρίου 1668 ἐν μηνὶ ἰαννουαρίῳ:—]

4) л. 199^b запись:

Ἐτελειώθη τὸ παρὸν ἐν Ῥαχήτῃ διὰ χειρὸς Ἀναστασίου ἱερομονάχου Κυπρέου κατὰ τὸ ͵αχογ' ἔτος Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἐν μηνὶ μαΐῳ α'. Τέλος καὶ τῷ θεῷ δόξα πρέπει τῷ συντελεστῇ τῶν ἀγαθῶν:—

[5) Съ помѣткой:

͵αψιθ' μαΐῳ ιδ' ἡμέρᾳ ε' ὥρᾳ ε' τῆς ἡμέρας ἔγινε μεγάλος σεισμός. τόσον ὁποῦ οἱ ἄνθρωποι ἔφυγαν εἰς τὰ μεταγήρια καὶ ὄρη:—]

№ 549.

Въ Спиаеджуванійской библіотекѣ въ Капрѣ.

Ἀθανασίου Κομνηνοῦ Ὑψηλάντου Κωνσταντινουπολίτου, ἐκκλησιαστικῶν τε καὶ πολιτικῶν βιβλία δώδεκα, ἀφιερωθέντα τοῖς ἠγαπημένοις αὐτοῦ γονεῦσι, τῷ τε κυρίῳ Θεοδώρῳ Κομνηνῷ Ὑψηλάντῃ καὶ τῇ κυρίᾳ Κασσάνδρᾳ Τζανέτῃ.

На простой бумагѣ въ четвертую долю обычнаго писчаго листа.

[Изъ этой рукописи 19 листовъ размѣра 220×162 вырваны еп. Порфиріемъ и находятся теперь въ его бумагахъ Имп. Акад. Наукъ № 136, а 21 листъ въ № 72.]

Πίναξ[1]).

Βιβλίον πρῶτον. — Τὰ ἀπὸ τοῦ Ἰουλίου Καίσαρος μέχρι τῆς ἀποβιώσεως τοῦ τῶν Βυζαντίων ἐπισκόπου ἁγίου Λαυρεντίου ἐν διαστήματι ἐτῶν 268.

Βιβλίον δεύτερον. — Περιέχον τὰ ἀπὸ τοῦ ἁγίου Ἀλυπίου ἐπισκόπου Βυζαντίων μέχρι τῆς ἀναβιβάσεως εἰς τὸν πατριαρχικὸν τῆς Κωνσταντινουπόλεως θρόνον Παύλου τοῦ Ὁμολογητοῦ ἐν διαστήματι ἐτῶν 172.

Βιβλίον τρίτον. — Περιέχον τὰ συμβάντα ἀπὸ Παύλου τοῦ Ὁμολογητοῦ μέχρι τῆς ἐξώσεως πατριάρχου Κωνσταντινουπόλεως Εὐθυμίου ἐν διαστήματι ἐτῶν 155.

Βιβλίον τέταρτον. — Περιέχον τὰ συμβάντα ἀπὸ πατριάρχου Μακεδονίου ἕως πατριάρχου Θωμᾶ ἐν διαστήματι ἐτῶν 113.

Βιβλίον πέμπτον. — Ἀπὸ Σεργίου μέχρι τῆς ἀποβιώσεως Νικολάου τοῦ Μυστικοῦ ἐν διαστήματι ἐτῶν 320.

Βιβλίον ἕκτον. — Ἀπὸ πατριάρχου Στεφάνου τοῦ β′ καὶ ἀπὸ Ἀμασείας μέχρι τῆς παραιτήσεως πατριάρχου Κωνσταντινουπόλεως Ἰωάννου τοῦ Καματηροῦ ἐν διαστήματι ἐτῶν 278.

Βιβλίον ἕβδομον. Ἀπὸ πατριάρχου Μιχαὴλ Αὐτωριανοῦ μέχρι ἁλώσεως τῆς Κωνσταντινουπόλεως ὑπὸ τῶν Ὀθωμανῶν ἐν διαστήματι ἐτῶν 254.

Βιβλίον ὄγδοον. — Ἀπὸ τῆς ἁλώσεως μέχρι τῆς ἀποβιώσεως τοῦ πατριάρχου Καλλινίκου τοῦ β′ τοῦ ἀπὸ Προύσης τοῦ ἐπιλεγομένου Ἀκαρνάν, ἐν διαστήματι ἐτῶν 350.

[1]) Это оглавленіе сдѣлано не самимъ авторомъ Комниномъ, а, кажется, Синайскимъ архіеп. Константіемъ, котораго я въ послѣдній разъ видѣлъ въ Константинополѣ въ 1858 году.

Βιβλίον ἔννατον. — Ἀπὸ τῆς πατριαρχείας Γαβριὴλ τοῦ γ', τοῦ ἀπὸ Χαλκηδόνος, μέχρι τέλους τῆς πρώτης πατριαρχείας Σαμουήλ, τοῦ ἀπὸ Δέρκων, ἐν διαστήματι ἐτῶν 67.

Βιβλίον δέκατον. — Ἀπὸ πατριαρχείας Μελετίου, τοῦ ἀπὸ Λαρίσσης, μέχρι τέλους πατριαρχείας Προκοπίου ἐν διαστήματι ἐτῶν 20.

Βιβλιον ἑνδέκατον. — Τὰ Περσικά, Ἀραβικά, Ὀθωμανικά.

Βιβλίον δωδέκατον. — Τὰ Γαλλικὰ καὶ Γερμανικά.

Богатый матеріалъ для церковной исторіи!

Мои выписки изъ этихъ книгъ (небольшихъ.)

Βιβλίον α'.

Συνετέθη α' βιβλίον ἐν τῇ κατὰ μικρὰν Ἀσίαν Μαγνησίᾳ τῇ παρὰ τῷ ποταμῷ Μεάνδρῳ, ἄλλως Ἡλιουπόλει, ἥτις τὰ νῦν τουρκιστὶ λέγεται Ἀϊδὶν Γκιουζὲλ Ἰσάρι, ἔτει 1749: ἔνθα διέτριψα μετὰ τοῦδε μοὶ τοῦ ὑπερτάτου αὐθέντου Ῥαγὶπ Μουχαμὲτ πασᾶ ἡγεμόνος τοῦ Ἀϊδινίου ἀπὸ ἔτους 1748 φευρουαρίου η' μέχρι ἔτους 1750 νοεμβρίου ιδ'.

— Κατάλογος τῶν πατριαρχευσάντων ἐν τῇ ἁγίᾳ πόλει Ἱερουσαλήμ. Смотри собранные мною матеріалы для исторіи патріархата Іерусалимскаго [Имп. Академіи Наукъ № 77]. Тутъ помѣщенъ этотъ каталогъ.

— Александр. патріархъ Евтихій, историкъ, святительствовалъ съ 914 года 7 лѣтъ.

— Александр. патріархъ Θеофилъ II святительствовалъ съ 993 года 16 лѣтъ. Οὗτος πρῶτος ἐκλήθη κριτὴς τῆς οἰκουμένης.

— Въ концѣ первой книги есть глава 39-я о Россійскихъ патріархахъ съ 1589 года по 1699-й.

Ἦλθεν εἰς τὴν Μοσχοβίαν χάριν ἐλεημοσύνης ἔτει σωτηρίῳ 1588 μετὰ μητροπολίτου ἑνὸς καὶ δύο ἐπισκόπων ὁ οἰκουμενικὸς πατριάρχης Ἱερεμίας ὁ β', ὁ ἀπὸ Λαρίσσης. Παρεκάλεσεν οὖν τὸν πατριάρχην ὁ βασιλεὺς Θεόδωρος εἰς πατριάρχην ἀναγαγεῖν τὸν μητροπολίτην τῆς πόλεως Μόσχας Ἰώβ. Κατιδὼν οὖν ὁ πατριάρχης, ὅτι μετὰ τὴν ἅλωσιν οὐκ ἔτι μητρο-

πολίτης Ῥωσσιῶν ἐν τῇ Κωνσταντινουπόλει προεχειρίζετο διὰ τὴν τῶν Ὀθωμανῶν ἐπικράτειαν, ἀλλ' ἀπὸ τῆς συνόδου τῶν ἑπτὰ ἐπισκόπων τῆς Μοσχοβίας, καὶ ὅτι μείναντες οἱ ἐκεῖσε ἀρχιερεῖς ἄνευ τῆς ἐπικουρίας τοῦ οἰκουμενικοῦ θρόνου πολλὰ ἐν τοῖς ἐκκλησιαστικοῖς οὐκ ὀρθῶς ἐκαινοτόμησαν, τό τε ἱερὸν σύμβολον παραχαράξαντες, καὶ πολλὰ βιβλία τῆς ἀνατολικῆς ἐκκλησίας ἐσφαλμένως τυπώσαντες, σύνοδον ἀθροίσας τῶν ἐν πάσῃ τῇ Ῥωσσίᾳ ἀρχιερατευόντων, ἀνεδίδαξεν αὐτοὺς τὴν ἀληθῆ τῆς ὀρθοδόξου ἐκκλησίας διδασκαλίαν καὶ τὴν ἀρχαίαν αὐτῆς παράδοσιν· προεβίβασε δὲ καὶ τὰς ἐν τῇ Μοσχοβίᾳ ἀρχιεπισκοπάς, Νοβογραδίου, Καζανίου, Ῥοστοβίου καὶ Κρουτίζκης, εἰς μητροπόλεις· ὁμοίως προεβιβάσθησαν καί τινες ἐπισκοπαί...

— ... Κωνσταντῖνος Ῥωσσικῇ διαλέκτῳ τὴν τοῦ Κιεβίου ἱστορίαν συγγραψάμενος. Φιλάρετος. Νίκων. Ἰωακείμ. Ἀδριανός.

20 января 1861 года.
Холодно въ Капрѣ.

Βιβλίον β'.

Τὸ δεύτερον βιβλίον, ἀφιερωθὲν τῷ πατριάρχῃ τῶν Ἱεροσολύμων κὺρ Παρθενίῳ, συνετέθη ἐν τῇ Ἐδέσσῃ τῆς κατὰ τὴν Μεσοποταμίαν Ὀσροηνῆς ἐπαρχίας, τελειωθὲν τῷ ἔτει 1752 κατὰ μῆνα νοέμβριον.

Βιβλίον γ'.

Βιβλίον τρίτον, ἀφιερωθὲν τῷ μητροπολίτῃ τῆς Ἐφέσου κυρίῳ Ναθαναὴλ Χίῳ τῷ Καλλονάρι, συνετέθη ἐν τῇ αὐτῇ Ἐδέσσῃ ἐπὶ τοῦ αὐτοῦ ἡγεμόνος ἔτει 1752 κατὰ μῆνα ὀκτώβριον.

Βιβλίον δ'.

Τέταρτον βιβλίον συνετέθη ἐν τῇ αὐτῇ Ἐδέσσῃ ἐπὶ τοῦ αὐτοῦ ἡγεμόνος Ῥαγὶπ πασᾶ ἔτει 1753 κατὰ μῆνα δεκέμβριον.

Въ этой книгѣ κεφάλαιον θ'. Κατάστασις τῶν ἐπιστημῶν,

τεχνῶν τε καὶ γραμμάτων, καὶ μεταβολὴ τῆς πολιτικῆς τάξεως, ἀπ᾽ Αὐγούστου βασιλέως.

Ὀριβάσιος περίφημος ἰατρὸς ἀπὸ Περγάμων τῆς Ἀσίας. Μετεπέμψατο αὐτὸν ὁ Ἰουλιανὸς καῖσαρ γενόμενος, καὶ συναπῆλθεν αὐτῷ εἰς τὴν Περσίαν. Συνέθετο ἐπιτομὴν τῶν τοῦ Γαληνοῦ συγγραμμάτων. Ἤρεσεν αὕτη τῷ Ἰουλιανῷ καὶ παρήγγειλεν αὐτόν, νὰ διατάξῃ πάντα τὰ ἐν τῇ ἰατρικῇ εὑρισκόμενα. Ὅθεν συνέθετο πόνημα διῃρημένον εἰς βιβλία 75. Σῴζονται τούτων τὰ πρῶτα 15, τὸ εἰκοστὸν τέταρτον, καὶ τὸ κε΄. Τὰ λοιπὰ δὲ ἀπώλοντο. Μετὰ τὸν θάνατον τοῦ Ἰουλιανοῦ ἀνεχώρησεν εἰς τὰς ἐπαρχίας τῶν βαρβάρων. Ἀλλὰ μετεπέμφθη διὰ τὴν προκοπήν του. Πρεσβύτης ὢν ἀπέθανεν, ἀλλ᾽ ἀγνοεῖται τὸ ἔτος.

Διονύσιος μοναχὸς ὁ μικρός, Σκύθης τὸ γένος, πρῶτος διετάξατο τὴν χριστιανικὴν ἐποχὴν ἔτει σωτηρίῳ 532, καθ᾽ ἣν καὶ τὰ ἔτη ἀπαριθμοῦμεν, καὶ οὐχ ὡς τὸ πρότερον ἀπὸ τῶν Ὀλυμπιάδων, τῶν Ὑπατιῶν καὶ ἀπὸ τῶν ἐθνικῶν αὐτοκρατόρων.

Βιβλίον ε΄ καὶ ἕκτον.

Ἀθανασίου Κομνηνοῦ Ὑψηλάντου ἐκκλησιαστικῶν καὶ πολιτικῶν βιβλίον πέμπτον καὶ ἕκτον, въ одной книгѣ на бумагѣ in 4°.

Βιβλίον πέμπτον τελειωθὲν Ἐδέσσῃ τῆς Ὀσροϊνῆς ἐπαρχίας τῇ τανῦν τουρκικώτερον Οὔρφα λεγομένῃ, ἔτει σωτηρίῳ 1755 κατὰ μῆνα ἰούλιον.

Βιβλίον ἕκτον πέρας εἴληφε ἐν τῇ Βεῤῥοίᾳ τῆς Συρίας (Χαλέπι) ἔτει 1756 κατὰ μῆνα δεκέμβριον.

Βιβλίον ζ΄.

Βιβλίον ἕβδομον πέρας εἴληφε ἐν Κωνσταντινουπόλει εἰς τὸ Φανάρι ἔτει 1761, ὄντος ἐπιτρόπου τῆς Ὀθωμανικῆς βασιλείας τοῦ ὑπερτάτου Ῥαγὶπ Μεχμὲτ Πασᾶ.

— Κεφάλαιον λγ΄. Ἀνακεφαλαίωσις τῶν ἐν τῇ ἐκκλησίᾳ ἀπὸ τῶν ἀποστόλων συνόδων τε καὶ ψευδοσυνόδων μέχρι τῆς ὑπὸ τῶν Ὀθωμανῶν ἁλώσεως τῆς Κωνσταντινουπόλεως καὶ ἐπέ-

κεινα. — Смотри эту статью въ моемъ сборникѣ отрывковъ греческихъ, переплетенномъ въ видѣ книги съ желтоват. корешкомъ. Часть II [Имп. Академіи Наукъ № 72].

— Ἔτει 1210. Сынъ Стефана, великаго жупана Сербіи, Савва рукоположенъ въ епископа вселенскимъ патріархомъ Михаиломъ.

— Ἔτει 1222. Игемонъ Диррахіи Θеодоръ Комнинъ подчинилъ себѣ Солунь, всю Θессалію и нѣкоторыя области Болгаріи—θέλει ἀναγορεῦσαι βασιλέα τῶν Ῥωμαίων παρὰ τοῦ ἀρχιεπισκόπου Βουλγαρίας.

— Ἔτει 1223. — Ἰωάννης Βατάτζι κατεδάμασε τοῦτον Θεόδωρον, καὶ κατηνάγκασεν αὐτόν τε καὶ τὸν υἱόν του καταλιπεῖν τὰς βασιλικὰς σημαίας, καὶ συντελεῖν αὐτῷ δασμόν, ὡς μόνῳ καὶ ἀληθεῖ βασιλεῖ.

— Ἔτει 1226—1234. Вселенскій патріархъ Германъ писалъ посланіе къ папѣ, склоняя его къ православію. Ему много помогалъ Никифоръ Влеммидъ, подвизавшійся 50 лѣтъ.— Ἐγχειρίδιον τούτου τοῦ πατριάρχου κατὰ τῶν δογμάτων τῆς λατινικῆς ἐκκλησίας.

— Ἔτει 1255. Θεόδωρος ὁ Δούκας ὁ Λάσκαρης βασιλεὺς ἐν Νικαίᾳ. Τούτου σῴζεται «Βιβλίον περὶ φυσικῆς κοινωνίας». — Ὁ Παχυμέρης δικαιοφύλαξ τῆς βασιλείας σχόλια συνέγραψε εἰς τὸν Διονύσιον.

— Ἔτει 1264. — Являлась страшная комета въ іюлѣ, августѣ и сентябрѣ.

— Ἔτ. 1284. Ἀνταρτᾷ κατὰ τοῦ Μιχαὴλ Παλαιολόγου ὁ ἡγεμὼν τῆς Θεσσαλίας Ἰωάννης. Царь Михаилъ поѣхалъ было воевать его, но умеръ на дорогѣ.

— Ἔτ. 1301. Νικηφόρος ὁ Κάλλιστος, ὃς καὶ τὴν ἰδίαν ἱστορίαν ἀφωσιώσατο τῷ βασιλεῖ Ἀνδρονίκῳ, ἀρχομένην ἀπὸ 625 ἔτους. Σῴζονται βιβλία ιη', τὰ δὲ λοιπὰ ἀπώλοντο.

— Ἔτους 1309. Τινὲς ἐχθροὶ τοῦ πατριάρχου Ἀθανασίου (ἁγίου) ἐζωγράφησαν εἰς τὴν μονὴν τοῦ Ὁδηγοῦ ἐν τῷ ὑποποδίῳ τοῦ πατριαρχικοῦ θρόνου τὸν Χριστὸν μετὰ τοῦ βασι-

λέως φοροῦντα χαλινὸν καὶ συρόμενον ὑπὸ τοῦ πατριάρχου. Ζητῶν δὲ ὁ Ἀθανάσιος τὴν παιδείαν τῶν πταιστῶν, καὶ γενομένης αὐτῷ ἐμπόδιον τῆς φιλανθρωπίας τοῦ βασιλέως, παροξυνθεὶς ἀνεχώρησε καὶ παρῃτήθη. (Τούτου τὴν ζωὴν ὅρα ἐν τῷ νέῳ Παραδείσῳ).

— Ἔτ. 1315/16. Οἰκουμενικὸς πατριάρχης Ἰωάννης ὁ Γλυκὺς ἀνανέωσεν ἐν τῇ Κωνσταντινουπόλει τὸν ἀττικισμόν.— Ἤκμαζεν ἐν τούτοις Θεόδωρος ὁ Μετοχίτης ἀνὴρ πολυμαθὴς μέν, ἀλλ' ἐν τοῖς συγγράμμασι λέξεων ποικιλίᾳ μᾶλλον, ἢ ὀρθότητι νοημάτων σπουδάζων.

— Ἔτ. 1332. Царь Андроникъ младшій. Варлаамъ монахъ на Аѳонѣ. Исихасты. Споры. Григорàсъ.

— Ἔτ. 1341. Ἔρχεται εἰς τὴν Κωνσταντινούπολιν Γρηγόριος ὁ Παλαμᾶς μετά τινων μοναχῶν ἡσυχαστῶν διὰ νὰ ἀπαντήσουν ταῖς κατ' αὐτῶν συκοφαντίαις τοῦ Βαρλαάμ.

— Ἔτ. 1351.—Ἦλθον Φραγκισκάνοι εἰς τὴν Ἱερουσαλήμ, καὶ δελεάσαντες τὸν τότε πατριάρχην Λάζαρον τῇ συνήθει αὐτῶν ὑποκρίσει, ἔλαβον παρ' αὐτοῦ τὸ μοναστήριον τῆς ἁγίας Σιών, ἀλλ' ἔλαβον αὐτὸ παρ' αὐτῶν οἱ Σαρακηνοί, καὶ ἐποίησαν αὐτὸ διδασκαλεῖον. δεδώκασι δὲ τοῖς Φράτορσι τούτοις οἱ Ἴβηρες δι' ἐνοικίου τὸ μοναστήριον τοῦ θεολόγου Ἰωάννου τὸ ἔνδον τῆς Ἱερουσαλήμ, ὅπερ καὶ παρανόμως ἰδιοποιήσαντο.

— Ἔτ. 1352. Вселенскій патріархъ Каллистъ святогорецъ. При немъ соборъ, осудившій Варлаама и Акиндина.

— Ἔτ. 1354—1386. Вселенскій патріархъ Филоѳей дважды былъ патріархомъ. Онъ писалъ противъ латинянъ и противъ Григораса.

— Ἔτ. 1388. Οἰκουμενικὸς πατριάρχης Νεῖλος συνέγραψε οὐκ ὀλίγα κατὰ Λατίνων, οὐ μὴν δέ, ἀλλὰ καὶ Νικόλαος ὁ Καβασίλας, Ἰωσὴφ ὁ Βρυέννιος, Μακάριος ὁ Ἀγκύρας, καὶ ἄλλοι πολλοὶ συνέγραψαν ἐπὶ τοῦ βασιλέως τοῦ Μανουήλ, διατρανοῦντες τὴν ἀλήθειαν καὶ τὰ λατινικὰ πλάνη ἐναργῶς καταργοῦντες.

— Ἔτ. 1441. Γίνεται διάλεξις ἐν Κωνσταντινουπόλει μεταξὺ τοῦ Μάρκου Ἐφεσίου καὶ τοῦ Δομινικανοῦ Βαρθολο-

μαίου ἐπισκόπου τῆς Φλωρεντίας θεολόγου παρὰ τοῖς Λατίνοις περιφήμου παρρησίᾳ, καὶ ἔμεινεν ἀφωνότερος ἰχθύων ὁ Λατῖνος μὲ μεγάλην εὐχαρίστησιν τῶν ὀρθοδόξων τῆς πόλεως.

— Тогда же былъ соборъ въ Іерусалимѣ; соборовали патріархи Александрійскій, Антіохійскій и Іерусалимскій и митрополитъ Кесаріи Каппадокійской, и отправили свое посланіе къ царю Іоанну Палеологу.

Βιβλίον η'.

Συνετέθη κόπῳ πολλῷ διὰ τριῶν χρόνων, καὶ πέρας εἴληφεν ἐν ἔτει 1768 κατὰ μῆνα σεπτέμβριον ἐν τῇ τῶν προγόνων ἑστίᾳ τῇ κατὰ τὸ Νεοχώριον ἐπὶ τοῦ Βοσπόρου τῆς Κωνσταντινουπόλεως.

— Ἔτους 1455. Ὁ πάπας Νικόλαος ὁ ε', ἐραστὴς ὢν τῶν ἐπιστήμων πασῶν, τὰς Ἑλληνικὰς βίβλους ἀφ' ὅλης τῆς Ἑλλάδος προσενεχθεῖσας τῇ Δύσει, κομίσας εἰς τὴν Ῥώμην μετέφρασε λατινιστὶ παρὰ Γεωργίου τοῦ Τραπεζουντίου, Λαυρεντίου τοῦ Βάλλα, Πέτρου τοῦ Κανδίδου, Γεωργίου τοῦ Καστελάνου καὶ Δημητρίου τοῦ Γραικοῦ.

— Ἔτ. 1455. Ἱεροσολύμων Ἰωακεὶμ ἀπέθανε. Διάδοχός του Ἀθανάσιος ὁ γ' ἔλαβε παρὰ τοῦ Φατίχι σουλτὰν Μεχμὲτ χάτι-σερίφι διὰ ὅλα τὰ προσκυνήματα, σῳζόμενον μέχρι τοῦδε ἐν τῷ πατριαρχικῷ θρόνῳ τῶν Ἱεροσολύμων μετὰ καὶ ἄλλων χατισεριφίων, τῶν ὕστερον ἐκδοθέντων.

— Παρθένιος Μεταξόπουλος ἱερομόναχος καὶ ἀρχιμανδρίτης τῆς μονῆς τοῦ Σουμελᾶ ἔγραψε τὴν ἱστορίαν τῶν βασιλέων τῆς Τραπεζοῦντος, συνδεδεμένην μὲ τὸ προσκυνητάριον.

— Ἔτ. 1465. Ὁ πατριάρχης Ἱεροσολύμων Γρηγόριος ὁ β' τὴν μεγάλην ἰσχὺν τοῦ σουλτὰν Μεχμὲτ κατιδών, προσελθὼν ἔδειξεν αὐτῷ τὸ πρόγραμμα τοῦ Ὄμερ-Ἰπν-Χιτάπ, δοθὲν τοῖς ὀρθοδόξοις Ῥωμαίοις διὰ τὴν ἐπικράτησιν τῶν ἐν Ἱερουσαλὴμ προσκυνημάτων, καὶ ἐζήτησε ἐπικυρωθῆναι καὶ παρὰ τῆς αὐτοῦ βασιλείας· ὃ καὶ ἐγένετο.

— Εἰς τὴν Γερμανίαν μετεκομίσθη τὰ ἑλληνικὰ μαθήματα ὑπὸ Ἰωάννου Ῥεχλινοῦ τοῦ Καπνίωνος, νομικοῦ τε καὶ

πολιτικοῦ διδασκάλου, μαθητευθέντος παρὰ Ἀνδρονίκῳ Κοντοβράκῳ τῷ Ἕλληνι ἐν Βασιλείᾳ τῇ πόλει (въ Базелѣ), ὑφ' οὗ καὶ πρώτου κἀν ταῖς Γαλλίαις διεσπάρη ἡ ἑλληνικὴ διάλεκτος. Καὶ μετ' αὐτὸν ἐν Παρισίοις ἐμαθητεύθη ἡ ἑλληνικὴ παίδευσις ὑπὸ Γεωργίου Ἑρμωνύμου τοῦ Σπαρτιάτου, ἐν δὲ τῇ Ῥώμῃ ὑπὸ Ἀργυροπούλου τοῦ Βυζαντίου, κἀν Μεδιολάνοις καὶ Φλωρεντίᾳ παρὰ Δημητρίου τοῦ Χαλκοκονδύλου, καὶ ἐν τῇ Μεσσίνῃ παρὰ Κωνσταντίνου Λασκάρεως τοῦ Βυζαντίου.

— Ἔτ. 1482—1488. Προχειρίζεται πατριάρχης οἰκουμενικὸς Μάξιμος, ἀνὴρ διαβεβοημένος ἐν ἀρετῇ, κατὰ πᾶσαν κυριακὴν καὶ ἑορτὴν ἐν τῇ ἐκκλησίᾳ τὸν τοῦ θεοῦ λόγον διδάσκων...

— Ἔτ. 1533. Жилъ-былъ Ахридскій архіепископъ Прохоръ.

— Ἔτ. 1570. Ἱέραξ ὁ λογοθέτης τῆς μεγάλης ἐκκλησίας, ἐν τῇ ἐκκλησιαστικῇ αὐτοῦ ἱστορίᾳ γράφει, ὅτι συνόδου γενομένης ἐν Κωνσταντινουπόλει ἐπὶ τοῦ πατριάρχου Μητροφάνους τοῦ γ' ἀπεφασίσθη ὑποταγῆναι τῷ θρόνῳ τῆς Κωνσταντινουπόλεως τὴν Ἀχρίδα, τὸ Πέκιον καὶ τὴν Τούρνοβον, καὶ μηκέτι εἶναι ἀρχιεπισκοπὰς αὐτοκεφάλους, κακῶς δογματισάντων τούτῳ ποτε τινῶν τῶν ἐν τοῖς χριστιανοῖς βασιλέων. Ὅθεν δογματισθέντος τούτου ἐχειροτόνησαν μητροπολίτας εἰς ταύτας τὰς ἀρχιεπισκοπάς. Ἀλλ' ἡ μὲν Τόρνοβος ἔμεινε τῇ ὑποταγῇ τοῦ οἰκουμενικοῦ θρόνου. Αἱ δὲ λοιπαὶ δύο ὑποσχεθεῖσαι τῷ σουλτάνῳ φόρους κατ' ἰδίαν ἴσχυσαν τῇ ἐξωτερικῇ βίᾳ μεῖναι ἐν τῇ ἀρχαίᾳ τάξει καὶ σχήματι, ἕως οὗ ὁ Κωνσταντινουπόλεως Σαμουὴλ τὰς κατήργησε.

— Ἔτ. 1574. Ἱερεμίας ἀπὸ Λαρίσσης. Σπουδὴ ἦν διὰ παντὸς αὐτῷ μελετᾶν τὰς θείας γραφάς, καὶ τὸν λαὸν τοῦ θεοῦ διδάσκειν ἐν ἐκκλησίαις.

NB. Послѣ Московскаго митрополита Филиппа былъ митрополитъ Константинъ, ὁ συγγράψας τὴν ἱστορίαν τοῦ Κιέβου.

— Ἔτει 1608. Τὸν Ἱεροσολύμων Σωφρόνιον τὸν δ' παραιτηθέντα διὰ τὸ γῆρας διεδέχθη ὁ Θεοφάνης. Ἐπὶ τούτου

τοιαῦτα ἠκολούθησαν. — Οἱ Φράροι ἐπὶ τῶν Τζερκέζων οὐκ ἴσχυον εἰς τὴν Ἱερουσαλήμ, καί τινες Φραντζεσκάνοι ἐλθόντες εἰς τὴν Ἱερουσαλὴμ οὐκ ἐδέχθησαν αὐτοὺς οἱ κρατοῦντες Τζερκέζοι καὶ ἐδίωκον· ἀλλ' αὐτοὶ δελεάσαντες τὸν τότε πατριάρχην Ἄραβα τῇ συνήθει αὐτῶν ὑποκρίσει παρεκίνησαν, νὰ γένῃ ἐγγυητὴς ὑπὲρ αὐτῶν, ὃ καὶ ἐγένετο μὲ χοτζέτι (ходжетъ) τῆς κρίσεως μέχρι τοῦδε σῳζόμενον (ὥστε ἂν ἔλειπεν ἡ τοῦ πατριάρχου ἐκείνου φιλοξενία, δὲν ἤθελαν κατοικήσῃ ποτὲ εἰς τὴν Ἱερουσαλήμ). Εἰς αὐτοὺς λοιπὸν ἔδωκεν ὁ πατριάρχης κατοικίαν, ὡς μὴ ὤφελε, τὸ μοναστήριον τῆς ἁγίας Σιών. Ἀλλὰ λαβόντες αὐτὸ παρ' αὐτῶν οἱ Σαρακηνοὶ καὶ διδασκαλεῖον ποιήσαντες, δέδωκαν οἱ Ἴβηρες τοῖς Φράτορσι δι' ἐνοικείου τὸ ἔνδον τῆς Ἱερουσαλὴμ μοναστήριον Ἰωάννου τοῦ Θεολόγου. Ἐπικρατήσαντος δὲ τοῦ σουλτὰν Σελίμη τῆς Ἱερουσαλὴμ ἔτει 1517, ἤρξαντο οἱ Φράροι ἐν πολλοῖς κακουργεῖν, χρώμενοι τῷ ἀργυρίῳ· καὶ πρῶτον μὲν ἰδιοποιήσαντο τὸ τῶν Ἰβήρων ῥηθὲν μοναστήριον· δεύτερον παρήλλαξαν τὴν ἀκρίβειαν τῶν ὀρθοδόξων ἠθῶν· τὸν γὰρ πορνεύσαντα ἱερέα, ἢ φονεύσαντα, ἢ ἄλλην ἁμαρτίαν θανάσιμον ποιήσαντα καὶ ὑπὸ τοῦ πατριάρχου ἐπιτιμηθέντα ἐδέχοντο αὐτοὶ καὶ συνεχώρουν, παρ' ἐνορίαν ἐνεργοῦντες. συνεχώρουν δὲ καὶ τοῖς λαϊκοῖς τὰς τῶν νηστειῶν καταλύσεις, τὰς ἀθεμιτογαμίας, πορνείας, μοιχείας, φόνους, ἐπιβουλάς, μάχας καὶ τὰ τούτοις ὅμοια. ὅθεν παμπληθεῖς τῶν ἐν τῇ Παλαιστίνῃ ὀρθοδόξων προσετέθησαν τῷ παπισμῷ. Τρίτον, ἐπεκράτησαν τῆς ἐν τῇ Βηθλεὲμ μεγάλης ἐκκλησίας καὶ τοῦ σπηλαίου, καὶ τὸ ἥμισυ τοῦ Γολγοθᾶ ἐπὶ Σωφρονίου. Ἀλλ' ὁ Θεοφάνης ἔλαβε καὶ τὸ Ἅγιον Σπήλαιον, καὶ τὸν Γολγοθάν, τῇ ἀποφάσει τοῦ κριτοῦ, καὶ διαδρὰς τὰς ἐπιβουλὰς τῶν Φράρων ἦλθεν εἰς τὴν πόλιν· συνῆλθον καὶ οἱ Φράροι, καὶ ἐκρίθησαν μετὰ τοῦ πατριάρχου εἰς τὸ διβάνι, καὶ ἔλαβεν ὁ πατριάρχης τὰ προσκυνήματα παρ' αὐτῶν μὲ χάτι σερίφι τοῦ τότε βασιλεύοντος σουλτὰν Μουράτη ἔτει σωτηρίῳ 1633-ῳ, καὶ τοῦ χιτζρὲ 1043, ἤτοι τὴν Ἀποκαθήλωσιν, τὸν Γολγοθάν, τὸ ἅγιον Σπήλαιον τῆς Βηθλεέμ, καὶ τὸν ἐν τῇ Βηθλεὲμ κῆπον τὸν πλησίον τοῦ βήματος τῆς μεγάλης ἐκκλησίας, καὶ τὴν νότιον αὐλήν, ἐν ᾗ ἦσαν καὶ μνήματα χριστιανῶν. Τῷ δὲ ἔτει 1634 δόντες

οἱ Φράροι τῷ σουλτὰν Μουράτη φλωρία 16 χιλιάδας καὶ τῷ βεζίρι γρόσια 25000, καὶ τῷ μουφτὶ καὶ ἄλλοις τὰ ἀνήκοντα, λαμβάνουσι πάλιν τὰ προσκυνήματα, ἐξαπατηθέντος τοῦ βασιλέως ὑπὸ τοῦ βεζίρη. Ἀλλὰ προσκλαυθεὶς ὁ πατριάρχης Θεοφάνης τῷ καϊμακάμῃ τῆς πόλεως Καρὰ Μουσταφᾶ πασᾶ, λαμβάνει ἄδειαν, νὰ φανερώσῃ τῷ βασιλεῖ τὴν τοῦ βεζίρη ἀπάτην. Ὅθεν δικάζεται πάλιν ὁ κὺρ Θεοφάνης μὲ τοὺς Φράρους ἐν τῷ βασιλικῷ βήματι, ἤτοι καλαπὰ-διβάνι, καὶ δίδονται πάλιν τοῖς Ῥωμαίοις τὰ προσκυνήματα, καὶ λαμβάνει ὁ Θεοφάνης καὶ ἄλλο χάτι σερίφι τοῦ σουλτὰν Μουράτη βεβαιωτικὸν διὰ τὰ προσκυνήματα, καὶ ποιεῖ συνθήκην, νὰ πληρώνῃ κατ' ἔτος εἰς τὸ τζαμὶ τοῦ σουλτὰν Ἀχμέτη φλωρία βενέτικα 420. Ἐγράφη δὲ εἰς τὸ χάτι σερίφι τὸ νὰ μὴν ἐνοχλῆται πλέον παρὰ τῶν Φράρων.

Προσέτι οἱ Ἀρμένιοι ἑτοιμάζοντο ποιῆσαι πρῶτοι τὴν τάξιν τοῦ φωτὸς ἐν τῷ μεγάλῳ σαββάτῳ τοῦ Πάσχα, ἵνα δράξωνται συνηθείας τοῦ ἔχειν τὰ πρωτεῖα. Καὶ δῆτα ὄντος τοῦ σουλτὰν Μουράτη εἰς τὴν Ἀδριανούπολιν μετὰ τοῦ βεζίρη Ἰπραΐμ πασᾶ, τοῦ καὶ ἐξ Ἀρμενίων, οἱ πιστοὶ τῆς πόλεως εἴς τινας χιλιάδας συναριθμούμενοι ἔτρεξαν ἐκεῖσε, ἵνα ἀπαντήσωσι τὰ τῶν Ἀρμενίων περὶ τούτου κινήματα. Ἐβοήθει δὲ τοῖς Ἀρμενίοις παρὰ τὸν βεζίρην καὶ ὁ Ἀπαζὰ πασᾶς. κριθέντες οὖν οἱ Ῥωμαῖοι μετὰ τῶν Ἀρμενίων εἰς τὸν καζασκέρην, ἐνίκησαν οἱ Ῥωμαῖοι τοὺς Ἀρμενίους, καίτοι ἔχοντας ἰλάμι τοῦ καδῆ τῆς Ἱερουσαλὴμ δηλωτικὸν τοῦ, ὅτι ἔχουσι δίκαιον. Ἀλλ' ἐλθόντος εἰς τὴν πόλιν τοῦ σουλτὰν Μουράτη, οἱ Ἀρμένιοι διανείμαντες τοῖς κρατοῦσι γρόσια 400 χιλιάδας ἔμελλον νικῆσαι. Μαθὼν δὲ παρὰ τοῦ ποσταντζίπασι ἐμμέσως τὰ πάντα ὁ σουλτὰν Μουράτης καὶ τὸ ὅτι ὁ Ἀπαζάπασας ἔλαβε περὶ τούτου παρὰ τῶν Ἀρμενίων ἑξῆντα πουγγεῖα, καὶ εὑρὼν ταῦτα ὁ βασιλεὺς ἐν τῷ ταμείῳ αὐτοῦ, διώκει τοὺς Ἀρμενίους, φονεύει αὐτῶν προεστῶτας τέσσαρας, καὶ εἱρκτῇ παραδοὺς 78 Ἀρμενίους, ἔλαβε παρ' αὐτῶν χρήματα πολλά, καὶ ἔδωκε τοῖς Ῥωμαίοις χάτι σερίφι, ἵνα ἔχωσι τὰ πρωτεῖα.

Προσέτι γενομένης πυρκαϊᾶς ἐν τῷ Παλατᾷ καὶ Φαναρίῳ, κατ-

εκάησαν ἐννέα ἐκκλησίαι ἐπὶ τοῦ σουλτὰν Ἰ π ρ α ΐ μ ι, καὶ τὸ μετόχιον τοῦ Ἁγίου Τάφου τὸ ἐν τῷ Διπλοφαναρίῳ, ὅπερ ἦν ποτὲ οἶκος τῶν Καντακουζηνῶν τῆς Βλαχίας, ἔχον ἐν ἑαυτῷ καὶ σμικροτάτην ἐκκλησίαν.

Τοῦ δὲ πατριάρχου Θ ε ο φ ά ν ο υ ς ἀγοράσαντος αὐτὸ καὶ ποιήσαντος μετόχιον, ἐμπρησθέντος τὰ νῦν, οἱ γουναράδες ἐζήτησαν παρὰ τοῦ βεζίρη ἄδειαν τοῦ οἰκοδομῆσαι τὴν αὐτοῦ ἐκκλησίαν ὡς καὶ πρότερον. Ὁ δὲ ἀπέστειλεν αὐτοὺς εἰς τὸν καζιασκέριν τῆς Ῥούμελης, προστάξας ποιῆσαι καταγραφὴν τῆς καείσης ἐκκλησίας, διὰ νὰ οἰκοδομηθῇ. Οἱ δὲ γουναράδες δόντες χρήματα ἱκανὰ ἐποίησαν τὴν καταγραφὴν πολλῷ μείζονα τῆς ἀληθοῦς, καὶ ἐκτίσθη ἡ ἐκκλησία πενταπλασία τῆς πρώτης. Κτισθεῖσαν δὲ τὴν ἐκκλησίαν ἐσφάλισεν ὁ Κωνσταντινουπόλεως Π α ρ θ έ ν ι ο ς ὁ ἀπὸ Ἀδριανουπόλεως, ὁ ἐπιλεγόμενος Ν έ ο ς καὶ Γ ο λ ι ά θ, καὶ οὐ συνεχώρει λειτουργεῖν ἐν αὐτῇ· ἀλλ' ἐπὶ συμφωνίᾳ τοῦ μὴ ἔχειν ποσῶς ἐνορίαν καὶ τελεῖν αὐτὴν ὑπὸ τῇ μικρᾷ ἐκκλησίᾳ τοῦ ἁγίου Γ ε ω ρ γ ί ο υ, τῇ κειμένῃ ἐπὶ τῷ κάστρῳ τῆς πύλης τοῦ Φαναρίου, ἠνέῳξε πάλιν ὁ Π α ρ θ έ ν ι ο ς τὴν νεόκτιστον αὐτὴν ἐκκλησίαν. αὐτὴ δὲ ἡ ἐπὶ τῆς πύλης τοῦ Φαναρίου ἐκκλησία γέγονε πολλῷ ὕστερον μεστζίτι ἐπὶ τοῦ σουλτὰν Ἀ χ μ έ τ η τοῦ τρίτου, καὶ ἔστι καὶ μέχρι τοῦδε μεστζίτι.

Διὰ ταῦτα ὑπέπεσε χρέει βαρυτάτῳ ὁ πατριαρχικὸς θρόνος τῆς Ἱερουσαλὴμ καὶ τοσούτῳ, ὅπερ οὐκ ἦν δυνατὸν πληρωθῆναι. Ὁ Κωνσταντινουπόλεως Κ ύ ρ ι λ λ ο ς ὁ Λ ο ύ κ α ρ η ς ἐπὶ τῆς τρίτης αὐτοῦ πατριαρχείας ἐβοήθησε τὰ μέγιστα· διδάξας γὰρ ἔν τε τῇ Κωνσταντινουπόλει καὶ τῷ Γαλατᾷ, παρεκίνησε τοὺς χριστιανοὺς σφόδρα, καὶ ἐβοήθησαν ἱκανῶς τῷ Ἁγίῳ Τάφῳ, εἶτα προσκαλεσάμενος εἰς τὸ πατριαρχεῖον ἄρχοντας καὶ ἀρχομένους καὶ τοὺς ξένους ναυάρχους, καὶ ποιήσας κατάστιχον ἤθροισε χρήματα ἱκανά. Περιῆλθε δὲ καὶ ὁ Θ ε ο φ ά ν η ς τήν τε Μακεδονίαν καὶ Θετταλίαν χάριν ἐλεημοσύνης· εἶτα ἀπῆλθε καὶ εἰς τὴν Ἰβηρίαν, καὶ ἔδωκεν ἐξουσίαν τῷ ἐπισκόπῳ Κουκατέρων, νὰ ὀνομάζεται μητροπολίτης καὶ νὰ φορῇ σάκκον. Ἐφιλοδωρήσατο δὲ τῷ Θ ε ο φ ά ν η ὁ Τ ε ϊ μ ο ρ ά ζ ι ς μέπες, ἤτοι βασιλεὺς τοῦ Καχετίου, καὶ ποτήριον λιθοκόλλητον 12 χιλιάδων γροσίων, ὅπερ ὁ Θ ε ο φ ά ν η ς

κομίσας εἰς τὴν Κωνσταντινούπολιν καὶ ἐκ παρακινήσεως τοῦ σαΐτζῆ Σκαρλάτου δοῦναι εἰς τὸ χρέος θελήσας, ἐνεχείρισε τοῖς λιθογνώμοσιν Ἑβραίοις, οἵτινες ἔκλεψαν τοὺς πολυτίμους τῶν λίθων τοῦ ποτηρίου.

Σέρβοι μοναχοὶ ὑποκείμενοι τῷ ἀρχιεπισκόπῳ Πεκίου εἶχαν κατοικήση πρὸ πολλοῦ εἰς τὴν μονὴν τοῦ Ἀρχαγγέλου τὴν ἐν τῇ Ἱερουσαλήμ, καὶ ἐξουσίασαν αὐτήν· καὶ παρακινούμενοι ὑπὸ τῶν δασμοφοριῶν ἐγένοντο κοινόβιοι τοῖς εἰς τὴν λαύραν τοῦ ἁγίου Σάββα οἰκοῦσιν, καὶ οὐ συνεφώνουν τῷ πατριάρχῃ τῶν Ἱεροσολύμων, ὡς καὶ οἱ Ἴβηρες, καὶ ἔτιον τοὺς φόρους αὐτῶν χωρίς· καὶ ἐρχομένοις τοῖς προσκυνηταῖς προϋπήντουν οἱ Ἀρχαγγελοαγιοσαββῖται καὶ ἐλάμβανον αὐτοὺς εἰς τὸ μοναστήριον αὐτῶν καὶ ὁ πατριάρχης ἐζημιοῦτο. Ταλαιπωρούμενοι δὲ ὑπὸ τῶν Ἀράβων οἱ Ἁγιοσαββῖται ἔκτισαν πύργον ἀντικρὺ τοῦ μοναστηρίου αὐτῶν καταδαπανήσαντες γρόσια 12 χιλιάδας. Ὅθεν ὑπόχρεοι γενόμενοι ἀμφότεροι, ἐπώλησαν πᾶν εἴ τι καὶ ἂν εἶχον ἐν τοῖς μοναστηρίοις αὐτῶν, καὶ τέλος ἠναγκάσθησαν ὑπὸ τοῦ χρέους φυγεῖν. Ὅθεν ἠγέρθησαν οἱ Φράγγοι μὲν λαβεῖν τὴν μονὴν τοῦ ἁγίου Ἀρχαγγέλου, οἱ δὲ Ἀρμένιοι τὴν τοῦ ἁγίου Σάββα. Καὶ ὁ Θεοφάνης μετὰ πολλοὺς κόπους καταβαλὼν γρόσια 54 χιλιάδας, τὸ χρέος τῶν δύο μοναστηρίων τοῖς χρεωφειλέταις, ἔλαβε μὲν καὶ τὰ δύο μοναστήρια, ἀλλ' ὁ χαρατζῆς καὶ οἱ ἄλλοι ἐξουσιασταὶ ἐζήτουν ἀπὸ τὸν Θεοφάνην καὶ τοὺς φόρους, ὁποῦ ἐπλήρωναν ἐκεῖνα τὰ μοναστήρια πρότερον ἐκ συνηθείας, ἥντινα συνήθειαν ἀναίρεσεν ὁ Θεοφάνης διὰ πολλῶν ὁρισμῶν, καὶ τὸ αὐτὸ πεποίηκε καὶ ὁ μετ' αὐτὸν πατριαρχεύσας Παΐσιος. Βεβαρυμένος οὖν καὶ πάλιν ὁ Θεοφάνης ὑπὸ ἀνυποίστου χρέους ἀπῆλθεν εἰς τὸν ἡγεμόνα Μολδαβίας Βασίλειον βοεβόδαν τὸν Ἀλβανίτην, ὅστις ἐπλήρωσε χρέος τοῦ Ἁγίου Τάφου 56 χιλιάδας φλωρία οὐγγαρικά. Εἶτα διορθώσας ὁ Θεοφάνης τὸ ἐν τῇ Παλαιστίνῃ μοναστήριον τοῦ ἁγίου Σάββα, κρημνισμὸν ἐπαπειλοῦν, ὑπέπεσε πάλιν εἰς χρέος, καὶ ἔστειλεν εἰς τὴν Αἴγυπτον τὰ ἱερὰ σκεύη τοῦ Ἁγίου Τάφου καὶ τὴν κορῶναν αὐτοῦ ἀπεμπωληθῆναι, ἐπὶ τοῦ πατριάρχου Ἀλεξανδρείας Γερασίμου τοῦ α'· ἅπερ ἰδὼν ἐν ταῖς χερσὶ τῶν Ἑβραίων ἄρχων τις Σεϊδουλλὰχ καὶ λυπηθεὶς ἀπέστειλε

τῷ κὺρ Θεοφάνει φλωρία 10000, ἐσφραγισμένα τῇ τοῦ Ἀλεξανδρείας Γερασίμου σφραγίδι, καὶ ὑπεστράφησαν τὰ σκεύη καὶ ἡ κορῶνα ἀπὸ τῆς Αἰγύπτου εἰς τὴν Ἱερουσαλήμ, καὶ ἐπληρώθη τὸ χρέος.

Πρὸ δὲ τούτων ὁ ἡγεμὼν τῆς Μολδαβίας Ῥάδουλ (βοε)βόδας, ὁ ἐπιλεγόμενος Μέγας, ἐπὶ τῆς β' αὐτοῦ ἡγεμονείας εἶχεν ἀφιέρωση τῷ Ἁγίῳ Τάφῳ ἐπὶ Θεοφάνους τὸ μοναστήριον τοῦ Γαλατᾶ, κείμενον ἀντικρὺ τοῦ Γιασίου τῆς Μολδαβίας, κτισθέν ποτε ὑπὸ τοῦ αὐθέντου τῆς Μολδαβίας Πέτρου τοῦ ζ', τοῦ ἐπιλεγομένου Τζελτζέλ, καὶ ἀφιερωθὲν τῷ Κιόβῳ. Ὁ αὐτὸς Θεοφάνης ἔλαβε διὰ τὸν Ἅγιον Τάφον καὶ τὸ μοναστήριον τοῦ ἁγίου Γεωργίου, κείμενον ἐν Βουκουρεστίῳ τῆς Βλαχίας· καὶ τὸ μὲν μετόχιον τὸ ἐν τῇ Κωνσταντινουπόλει μὲ τὴν ἐκκλησίαν καὶ μὲ τὸν ἄνωθεν κῆπον, ὡς εἴρηται, τὰ ἠγόρασεν ὁ Θεοφάνης, τὸν δὲ δυτικὸν κῆπον ἠγόρασεν ὁ διάδοχος αὐτοῦ Ἱεροσολύμων Παΐσιος, ὃν ἐπώλησεν ὕστερον ὁ κὺρ Χρύσανθος μετὰ τὴν πυρκαϊὰν τοῦ Παλατᾶ, τὴν ἐπὶ τοῦ σουλτὰν Ἀχμέτη τοῦ γ'.

Οἱ Ἰησουῖται κακίᾳ φερόμενοι κατηγόρησαν τὸν οἰκουμενικὸν πατριάρχην Κύριλλον τὸν Λούκαριν, ὡς καλβινόφρονα. Οἱ Ῥῶσσοι ταῦτα ἀκούσαντες, ἠρώτησαν τὸν Θεοφάνην, διατρίβοντα τότε ἐν Γιασίῳ ἔτει σωτηρίῳ 1630, εἰ ἀληθεύει ἡ κατηγορία. Καὶ ὁ Θεοφάνης ἀπεκρίθη τοῖς Ῥώσσοις ἐν 16 κεφαλαίοις, οἷς ἀποδεικνὺς ψεῦδος τε καὶ συκοφαντίαν τὰ λαληθέντα καὶ ἀθῳῶν τὸν Λούκαριν.

— Ἔτει. 1634. Κύριλλος ὁ Λούκαρις τὸν Νικόδημον Μεταξᾶν ἀρχιεπίσκοπον Κεφαληνίας καὶ Ζακύνθου χειροτονήσας, ἀπέσπασε τὰς νήσους ταύτας ἀπὸ τῆς Κορίνθου, ἀπὸ τοῦ καιροῦ τῶν ἀποστόλων ὑπ' ἐκείνῃ τελούσας· ὅθεν παρανόμως τοῦτο κατετόλμησεν. Εἰ δὲ εἴποι τις, ὅτι βασιλεῖς καὶ πατριάρχαι ἰσχύουσι τοιαῦτα ποιεῖν, ψεύδεται· Νικόλαος γὰρ ὁ Κωνσταντινουπόλεως ἔλεγεν Ἀλεξίῳ τῷ βασιλεῖ «ἐῤῥῶσθαι βασιλέως ἀντιγραφήν, ἐφ' οἷς οὐ βλάπτεται ἕτερος, οὐ μὴν καὶ ἀεί». Ὅθεν τὸ Ῥίζαιον ἐπὶ Γερμανοῦ τοῦ ὁμολογητοῦ ἐγένετο ἀρχιεπισκοπή, ἀλλὰ μετὰ ἔτη 200 ἐπὶ Θεοφυλάκτου καὶ Ῥωμανοῦ ἐδόθη Νικηφόρῳ τῷ Νεοκαισαρείας.

— Ἔτει 1634. Τὸ ἐν Ἰασσίῳ μοναστήριον Βορνόσκι 1634 ἔτει ἀφιερώθη τῷ Παναγίῳ Τάφῳ. — Въ этомъ монастырѣ Аѳанасій Комнинъ, будучи мальчикомъ, учился у Наѳанаила Каллонáрп. — Ὁ ῥηθεὶς Νικόδημος ὁ Μεταξᾶς μετὰ καὶ ἄλλων τινῶν ἔφερον εἰς τὴν Κωνσταντινούπολιν τυπογραφίαν, καὶ ἐτύπωσαν τὸ σύνταγμα τοῦ Παλαμᾶ, καὶ τοῦ Σχολαρίου καὶ τοῦ Μαργουνίου διάλογον περὶ τῆς ἐκπορεύσεως τοῦ ἁγίου πνεύματος, καὶ ἐπιστολὰς τοῦ Ἀλεξανδρείας Μελετίου τοῦ Πηγᾶ, καὶ τὸ τοῦ μοναχοῦ Βαρλαὰμ κατὰ τοῦ καθαρτηρίου πυρός, καὶ τὸ τοῦ Φιλαδελφείας Γαβριὴλ κατὰ τῶν πέντε διαφορῶν. Ὅθεν οἱ ἐν τῷ σταυροδρόμι παπισταὶ Φραντζέζοι ταῦτα ἰδόντες, ἔδωκαν δῶρα πολλὰ καὶ πλῆθος χρημάτων πρὸς τοὺς κρατοῦντας ἐθνικούς, ἵνα ῥίψωσιν ἐν τῇ θαλάσσῃ τὴν τυπογραφίαν· ὃ καὶ ἐγένετο.

— Ἔτει 1642. Γίνεται σύνοδος ἐν τῇ Κωνσταντινουπόλει ἐπὶ Παρθενίου τοῦ γέροντος τοῦ καὶ ἀπὸ Ἀδριανουπόλεως κατὰ μῆνα μάϊον, καὶ ἀναθεματίζονται τὰ προῤῥηθέντα 18 κεφάλαια.

— Ἔτει 1645. Πατριαρχεία Παρθενίου τοῦ Νέου. Παρθένιος ὁ Γέρων, οὐκ ἀγαπῶν τὰς μακρὰς ἀκολουθίας καὶ ἀγρυπνίας, κτᾶται ἔγκλημα καθαιρέσεως διὰ τὴν ἀμέλειαν τῆς ἀκολουθίας τῆς ἐπιτεταμένης καὶ ᾀσματικῆς λεγομένης παρὰ τοῦ Συμεὼν τοῦ Θεσσαλονίκης. Ὅθεν πατριαρχεύσας ἔτη πέντε καὶ μῆνας δύο ἐξορίζεται εἰς τὴν Κύπρον σεπτεμβρίου τῇ ιζ', καὶ ἀναβιβάζεται εἰς τὸν θρόνον ὁ ἀπὸ Ἀδριανουπόλεως Παρθένιος ὁ Νέος, Ἰωαννίτης τὴν πατρίδα, ὅστις καὶ Ὀξὺς καὶ Κεσκίνις καὶ Γολιὰθ ἐπωνομάσθη, ἐχρημάτισε δὲ πρὸ τῆς Ἀδριανουπόλεως καὶ Ἰωαννίνων μητροπολίτης, ἀνὴρ σεμνός, ἔντιμος καὶ μεγαλοπρεπής, καὶ πατριαρχεύων τανῦν δραστήριος καί τυραννικὸς ἐγένετο· ὅθεν ἐπηύξησε καὶ τὰ τῶν ἱερέων ἐμβατοίκια, καὶ πλεονέκτης μὲν ἦν, οὐκ ἔξωσε δὲ τινὰ τῶν ἀρχιερέων ζώντων τῆς αὐτοῦ ἐπαρχίας.

Παΐσιος, ὁ ἡγούμενος τοῦ παρὰ τῷ Γιασίῳ μοναστηρίου Γαλατᾶ, τῇ συνδρομῇ τοῦ ἡγεμόνος τῆς Μολδαβίας Βασιλείου βοεβόδα ψηφίζεται πατριάρχης Ἱεροσολύμων, καὶ ὁ Κωνσταντινουπόλεως οὗτος Παρθένιος ὁ Νέος διὰ φόβον οὐκ ἀντειπὼν ἔπεμψεν

εἰς Γιάσιον ἐξάρχους τὸν Λαρίσσης καὶ ἄλλους, καὶ ἐχειροτόνησαν αὐτὸν ἐν Γιασίῳ ἔνθεον ἄνδρα ἀπὸ Δημιτζάνας καὶ αὐτὸν καὶ συγγενὴν τοῦ Θεοφάνους. Ὅρα τὰ περὶ τούτου καὶ τὰς περιηγήσεις αὐτοῦ παρὰ Δοσιθέῳ τόμῳ α′ περὶ τῶν ἐν Ἱεροσολύμοις πατριαρχευσάντων βιβλίῳ ιβ′, κεφαλαίῳ α′, παραγράφῳ ι′, καὶ κεφαλαίῳ β′, παραγράφῳ α′ καὶ β′.

Χειροτονηθέντος οὖν ἐν Γιασίῳ καὶ ἐλθόντος εἰς Βυζάντιον, ἵνα κατέλθῃ εἰς Ἱερουσαλήμ, ὁ οἰκουμενικὸς πατριάρχης Παρθένιος οὗτος ὁ Νέος ἐζήτει παρ' αὐτοῦ χρήματα· ἀλλ' ὁ κὺρ Παΐσιος οὐκ ἔδωκεν αὐτῷ οὐδὲ ὀβολόν. Ἐπανελθόντος δὲ τοῦ κὺρ Παϊσίου ἀπὸ τῆς Ἱερουσαλὴμ καὶ ἀπελθόντος εἰς τὴν Μοσκοβίαν χάριν ἐλέους, ἔγραψε κατ' αὐτοῦ ὁ Παρθένιος ὁ Νέος πρὸς τὸν βασιλέα Ἀλέξιον Μιχαηλοβίτζην πλάττων αἰτίας· ἀλλ' οὐδὲν ἀνύσας, παλινοστήσαντα τὸν κὺρ Παΐσιον ἐκεῖθεν, ἵνα ἀπέλθῃ εἰς τὴν Ἱερουσαλήμ, καὶ ἐλθόντα εἰς Βυζάντιον διέβαλεν εἰς τὸν βεζίριν, ὡς δῆθεν ἐπίβουλον τῆς βασιλείας· ὅστις μεταπεμψάμενος αὐτὸν καὶ γνοὺς ἄνθρωπον ὀρθόν τε καὶ δίκαιον ἀφῆκεν ἐλεύθερον, λαβὼν παρ' αὐτοῦ δώρου χάριν φλωρία 4000. Ἐπανελθόντος δὲ τοῦ Παϊσίου ἀπὸ τῆς Ἱερουσαλὴμ καὶ εἰς Βλαχοπογδανίαν ἀπελθόντος, πάλιν κατέτρεξεν αὐτοῦ ὁ Παρθένιος ὁ Νέος, προσθεὶς ἐπιβουλεύειν τῇ βασιλείᾳ τόν τε Μολδαβίας ἡγεμόνα Βασίλειον καὶ τὸν τῆς Βλαχίας ἡγεμόνα Ματεΐν. Ὅθεν ἐνεργήσαντες οἱ ἡγεμόνες εἰς τὴν Πόρταν διά τε τοῦ Παυλακίου καὶ ἄλλων φίλων καὶ διὰ πολλῶν χρημάτων, διὰ νὰ παύσουν τὰ κακὰ τὰ προστεθέντα τῇ ἐκκλησίᾳ τοῦ Χριστοῦ καὶ τὰ τυραννικὰ καὶ βίαια ἤθη, ἀπεκτάνθη ὁ Παρθένιος, ὡς ῥηθήσεται τῷ ἔτει 1650.

Οἱ Χαμπαίσιοι, ὡς ὁμόπιστοι τοῖς ἐν τῇ Αἰγύπτῳ Κόπταις, εἶχον λάβῃ παρὰ τῶν σουλτάνων Τζερκέζων τῆς Αἰγύπτου μέρος τῆς πόρτας τοῦ Ἁγίου Τάφου, ἐν τῷ ἀνατολικῷ μέρει δηλαδὴ τῷ λεγομένῳ τοῦ Ἀβραάμ, κἂν τῇ μεγάλῃ ἐκκλησίᾳ τοῦ Ἁγίου Τάφου εἶχαν τὰς καμάρας τὰς πρὸς τὸ νότιον μέρος τοῦ ἁγίου Κουβουκλείου, καὶ ἄλλα τινά, καὶ εἶχον καὶ ἄλλας οἰκίας ἐν τῇ Ἱερουσαλήμ. Μετὰ δὲ παρέλευσιν χρόνων οἱ Ἀρμένιοι, ὡς Θεοπασχῖται καλῶς ὁμιλοῦντες τοῖς Χαμπαισίοις Ἰακωβίταις, ὡς Θεο-

πασχίταις καὶ αὐτοῖς, δελεάσαντες αὐτοὺς ἔλαβον παρ' αὐτῶν τὰς ἐν τῇ Βηθλεὲμ οἰκίας τῶν Χαμπαισίων, καὶ ἔκτισαν αὐτὰς μείζονας, καὶ ἐκυρίευσαν αὐτῶν· δελεάσαντες δὲ καὶ τοὺς Κόπτας λειτουργοῦσιν ἐν τῇ κατὰ τῇ Βηθλεὲμ τραπέζῃ αὐτῶν· καὶ δελεάσαντες καὶ τοὺς πατριάρχας τῆς Ἱερουσαλήμ, τοὺς πρὸ τοῦ Γερμανοῦ Ἄραβας ὄντας καὶ αὐτόχθονας τῆς Παλαιστίνης, ἔλαβον τὸν ἅγιον Ἰάκωβον μὲ ἐνοίκιον ἐτήσιον πενῆντα φλωρία, καὶ κατ' ὀλίγον κόψαντες τὸ ἐνοίκιον ἐκυρίευσαν καὶ τοῦ ἁγίου Ἰακώβου· εἶτα συγκοινωνήσαντες ταῖς τραπέζαις καὶ ταῖς οἰκίαις τῶν Χαμπαισίων, ἐφαρμάκωσαν αὐτοὺς ἕνα πρὸς ἕνα, ὡς κακότροποι καὶ φονεῖς, καὶ ἐκυρίευσαν τῶν μοναστηρίων καὶ τῶν λοιπῶν Χαμπαισιακῶν οἰκιῶν, ἐξ ὧν ἦν καὶ εἷς ἀλογόμυλος ἀντικρὺ τῆς θύρας τοῦ πατριαρχείου, ὅντινα ἱπποκομεῖον ποιήσαντες συναγόμενοι ἐκεῖσε ἠσχημόνουν. Ὁ πατριάρχης Παΐσιος ἐζήτησε παρὰ τῶν Ἀρμενίων τὸν μύλον, διὰ νὰ ἐμποδισθῇ ἡ ἀσχημοσύνη, ἀλλ' αὐτοὶ ἐλοιδόρησαν αὐτόν. Ὅθεν ὁ πατριάρχης Παΐσιος ἐλθὼν εἰς τὴν Κωνσταντινούπολιν ἔλαβε χάτι σερίφι ἐπὶ τοῦ σουλτὰν Ἰπραΐμι, τοῦ ἀδελφοῦ τοῦ σουλτὰν Μουράτη τοῦ δ', διὰ ὅλα τὰ Χαμπαισιακὰ κτήματα, καὶ ἀπελθὼν εἰς τὴν Ἱερουσαλὴμ ἔλαβεν εἰς τὴν ἐξουσίαν του πάντα τά τε ἐν τῇ Ἱερουσαλήμ, καὶ τὰ ἐν τῇ Βηθλεέμ, καὶ τὸ μοναστήριον αὐτῶν, καὶ τὰ ὅσα εἶχον ἔνδον τῆς ἐκκλησίας τοῦ Ἁγίου Τάφου καὶ τὰς κανδήλας αὐτῶν, τὰς ἐν τῷ ἁγίῳ Κουβουκλείῳ καὶ τὰς ἐν τῇ ἁγίᾳ Ἀποκαθηλώσει.

Ἀλλὰ κακῇ τύχῃ Χουσεῒν πασᾶ τινι, γενομένῳ μετ' οὐ πολὺ ἡγεμόνι Γάζης καὶ Ἱερουσαλήμ, δόντες οἱ Ἀρμένιοι πλῆθος χρυσίου ἀνεκτήσαντο δι' αὐτοῦ ἁρπάσαντες ἀπὸ τῶν Ῥωμαίων πάντα τὰ Χαπαισιακά, ἁρπάζουσι δὲ καὶ τὴν μίαν πόρταν τοῦ σπηλαίου ἐν τῇ Βηθλεέμ· εἶτα διὰ νὰ βεβαιωθῇ καὶ ὁρισμῷ βασιλικῷ ἡ ἁρπαγή τους, κατακρατουμένου τοῦ κὺρ Παϊσίου ὑπὸ τοῦ Χουσεῒν πασᾶ ἐν τῇ Ἱερουσαλήμ, ἀπῆλθον εἰς τὴν πόλιν οἱ Ἀρμένιοι τρεῖς φοραῖς, πλῆθος χρημάτων καὶ δώρων προχέοντες, καὶ πρῶτον μὲν τῷ ἔτει 1649· ἀλλ' οὐδὲν ἤνυσαν τότε κρεμασθέντων τῶν βοηθούντων αὐτοῖς ἀγάδων διὰ τὴν τοῦ σουλτὰν Ἰπραΐμη καθαίρεσιν ὑπὸ τῶν ἀποστάτων· τῷ δ' αὐτῷ ἔτει

βασιλεύσαντος τοῦ ἑπταετοῦς σουλτὰν Μεχμέτη τοῦ δ', καὶ γενομένου βεζίρι τοῦ ἐξ Ἀρμενίων Σουλεϊμὰν πασᾶ ἐπὶ τῆς δευτέρας πατριαρχείας τοῦ ἀπὸ Ἡρακλείας Ἰωαννικίου, πάλιν κινοῦνται οἱ Ἀρμένιοι μὲ δόσιν πολλῶν χρημάτων εἰς τὸν βεζίριν, ὅστις μεταπέμπεται τὸν Κωνσταντινουπόλεως Ἰωαννίκιον καὶ ζητεῖ δοῦναι γνώμην. Ὁ δὲ ἀπεκρίθη εἶναι τὴν ἀπόκρισιν ἔργον οὐκ αὐτοῦ, ἀλλὰ τοῦ Ἱεροσολύμων (εὖγε τῆς ἀποκρίσεως). Ὅθεν ὁ βεζίρις βοηθεῖ τοῖς Ἀρμενίοις, ἀλλ' ἐξωσθεὶς οὐκ ἔφθασε τελειῶσαι τὸ ἔργον, ὡς ἐσκοπεῖτο, ὑπὸ τῆς κατακραυγῆς τοῦ ἐν Κωνσταντινουπόλει πλήθους ἐπὶ ποσὸν ἐμποδισθείς.

Γίνεται οὖν ἄλλος βεζίρις· καὶ πάλιν κινοῦνται οἱ Ἀρμένιοι ἔτει σωτηρίῳ 1653, καὶ βοηθεῖ αὐτοῖς ὁ βεζίρις καὶ σκοπεῖται νὰ κάμῃ χάτι σερίφι διὰ βοήθειαν τῶν Ἀρμενίων· ἀλλ' οὐκ ἔφθασε τελειῶσαι αὐτὸ καταβιβασθεὶς τῆς ἀρχῆς· καὶ γενομένου βεζίρι τοῦ Κιοπρουλὴ Μεχμὲτ πασᾶ, δηλοποιοῦσιν αὐτῷ οἱ χριστιανοὶ τὰ κατὰ τοῦ Παϊσίου ἐν τῇ Ἱερουσαλήμ. Ὅθεν ὁ βεζίρις πέμψας ἀγᾶν φέρει τὸν κὺρ Παΐσιον εἰς τὴν Κωνσταντινούπολιν, καὶ ἐλθὼν ἔτει σωτηρίῳ 1666 (!) ἰαννουαρίου τῇ ιζ' κρίνεται μετὰ τῶν Ἀρμενίων εἰς τὸ διβάνη διὰ τὴν ἁγίαν Βηθλεὲμ καὶ διὰ τὰ ἀφιερώματα τῶν Χαπαισίων· καὶ νικηθέντων τῶν Ἀρμενίων ἐδόθη χάτι σερίφι τῷ Παϊσίῳ διὰ τὰ προσκυνήματα καὶ τοὺς προρρηθέντας τόπους, καὶ εἰς τὸ χάτι αὐτὸ ἀνεφέροντο ῥητῶς καὶ τὰ χάτι σερίφια τοῦ χαλίφου Ὀμὲρ-Ἴπνου-Χαγιτάπ, καὶ τοῦ σουλτὰν Σουλεϊμάνη καὶ τοῦ σουλτὰν Μουράτη, καὶ τοῦ σουλτὰν Ἰπραΐμη, διὰ συνεργείας τοῦ δραγομάνου τῆς Πόρτας Παναγιώτου τοῦ Νικωσίου. Καὶ ἔλαβεν ὁ βεζίρις παρὰ τοῦ κὺρ Παϊσίου διὰ τὸ χάτι σερίφι αὐτὸ πουγγεῖα τριάντα, καὶ ἀπελθὼν μουμπασίρις εἰς τὴν Ἱερουσαλὴμ ἐδίωξε τοὺς Ἀρμενίους, καὶ παρεδόθησαν τοῖς Ῥωμαίοις τὰ προσκυνήματα ἔτει σωτηρίῳ 1657 μαΐου α'. Ἀλλ' ὁ μιαρὸς Ἄνθιμος ὁ Σικοῦρτος, ἐπίτροπος τοῦ Ἁγίου Τάφου, φθόνῳ φερόμενος κατὰ τοῦ πατριάρχου Παϊσίου, ἔδωκε τοῖς Ἀρμενίοις τὸν ἅγιον Ἰωάννην τὸν ἔξω τῆς ἁγίας πόρτας ὄντα, καὶ τὰς τέσσαρας καμάρας τὰς οὔσας ἐπὶ τῆς ἁγίας πόρτας, καὶ τὸν ἅγιον Ἰάκωβον, καὶ ἔμειναν εἰς τοὺς Ῥωμαίους μόνα τὰ Χαμπαισιακὰ τὰ προρρηθέντα.

*

Καὶ ταῦτα ἐτόλμησεν ὁ κακο-Ἄνθιμος διὰ τοῦ ῥηθέντος Χουσεῒν πασᾶ, ὅστις καὶ ἐκράτει τὸν μουπασίριν τζαοῦσιν εἰς τὴν Ἱερουσαλήμ, καὶ οὐκ ἀφίη ἀπελθεῖν εἰς τὴν Κωνσταντινούπολιν. Μανζιλευθεὶς δὲ ὁ Χουσεῒν πασᾶς ἀπῆλθεν εἰς τὴν Γάζαν, καὶ ἐδόθη ἡ Ἱερουσαλὴμ τῷ ἡγεμόνι τῆς Δαμασκοῦ Ταγια-Ὀγλοῦ. Ἦλθε καὶ ὁ τζαούσης εἰς τὴν πόλιν, καὶ μετὰ τοῦ Παϊσίου ἀπῆλθον εἰς τὸν βεζίρην ὄντα εἰς τὴν ἀνακαίνησιν τῶν ἔξω φρουρίων Σήστου καὶ Ἀβύδου, καὶ μηνύσας τῷ βεζίρι τὰ γενόμενα ὁ τζαοῦσις, καὶ εἰπὼν ὅτι ἥρπασε παρὰ τῶν Ῥωμαίων καὶ χρήματα, ἠρωτήθη ὁ Παΐσιος παρὰ τοῦ βεζίρη, πόσα ἔλαβεν· ἀπεκρίθη ὁ Παΐσιος· διακόσια πουγγεῖα, καὶ ἐδωρήσατο ταῦτα τῇ βασιλείᾳ. Ὅθεν ὁ βεζίρης πέμψας εἰς τὴν Γάζαν ἔλαβε τὰ ἄσπρα παρὰ τοῦ Χουσεῒν πασᾶ, καὶ λαβὼν καὶ τὸν ἅγιον Ἰάκωβον παρὰ τῶν Ἀρμενίων ἔδωκε τοῖς Ῥωμαίοις.

Ὁ ἡγεμὼν τῆς Βλαχίας Ματέῒς ὁ Πασαράπας ἔδωκε τῷ Παϊσίῳ 7000 γρόσια, διὰ νὰ ἀνακαινίσῃ τὴν στέγην τοῦ ἐν τῇ Βηθλεὲμ ναοῦ· ἀλλ' οὐδὲν ἴσχυσεν.

Ὁ καϊμακάμις, ἤτοι ἀνθύπατος τῆς πόλεως, συκοφαντεῖ τὸν κὺρ Παΐσιον, ὡς κατασκευάσαντα κορώνην (εἶχε γὰρ κάμῃ πρὸ μικροῦ μίαν, ὡς πατριάρχης), διὰ νὰ στείλλῃ τῷ βασιλεῖ τῆς Μοσκοβίας, καὶ φυλακῇ παραδίδωσι σκοπῷ τοῦ χρηματολογῆσαι. Τοῦ δὲ Παϊσίου μὴ πληρώνοντος καὶ τὴν φυλακὴν ὑπομένοντος, φοβηθεὶς μήπου προσκλαυθῶσιν οἱ Ῥωμαῖοι τῷ βασιλεῖ, πέμπει τὴν κορῶναν εἰς τὴν Ἀδριανούπολιν πρὸς τὸν βεζίρην Κιοπρουλὶ συκοφαντῶν τὸν Παΐσιον, ὡς τῆς βασιλείας ἐπίβουλον. Ἀλλ' οἱ πατέρες ταῦτα προγνόντες ἔδραμον εἰς τὴν Ἀδριανούπολιν, καὶ ἔδωκαν εἴδησιν τῶν γεγονότων τῷ Κιοπρουλῇ. Ἐλθούσης δὲ τῆς κορώνης μετὰ ταῦτα, καὶ ἀποδειχθέντος ἐκ τῶν ἐπιγεγραμμένων γραμμάτων, ὅτι ἐστὶ τοῦ Παϊσίου, ἐπέμφθη τῷ Παϊσίῳ νὰ τὴν φορῇ ὡς ἔθος, δοθείσης τοιαύτης ἀδείας τοῖς πατριάρχαις παρὰ τῶν ὀθωμανῶν βασιλέων· καὶ ἐπρόσταξεν ὁ βεζίρις τὸν ἀνθύπατον ἐλευθερῶσαι τῆς φυλακῆς τὸν Παΐσιον· εἶτα πέμψας εἰς τὸν πόλεμον τῆς Κρήτης ὁ βεζίρις τὸν ἀνθύπατον ἐκεῖσε πεφόνευκεν.

Τῷ δὲ ἔτει 1657 ἀπῆλθεν ὁ κυρ Παΐσιος εἰς Πάναρμον, Πέργαμον, Ἀρτάκην, Μηχανιῶνα, Καλόλυμνον, Συκήν, Μουδανιὰ

καὶ Κατιρλὶ χάριν ἐλεημοσύνης, κἀκεῖθεν ἐπανῆλθεν εἰς τὴν Κωνσταντινούπολιν.

Καὶ τῷ ἔτει 1658 ἀπῆλθεν εἰς τὴν Ἰβηρίαν διὰ τοῦ Πόντου ἀπὸ τοῦ Κόνδοσι λιμένος τῆς Τζερκεζίας μέχρι τοῦ Κοὺρς λιμένος τῆς Μεγκρελίας, κἀκεῖθεν εἰς Ἰβηρίαν φθάσας χάριν ἐλεημοσύνης, (οὗ) μετὰ πολλὰ ἔφθασεν εἰς τὸ Νεοχώριον τὸ παρὰ τῷ Σοσθενίῳ τῆς Προποντίδος. Ἐκεῖσε ὄντι ἀφιέρωσε τῷ Παναγίῳ Τάφῳ ὁ προπάππος μου χατζὶ Νικόλαος τόπον ἀπὸ τὸ ποστάνι του, ἐν ᾧ ἦν καί τις μικρὰ ἐκκλησία ἐπ' ὀνόματι τιμωμένη τοῦ ἁγίου Γεωργίου. Ἐκτίσθησαν ὕστερον καὶ πλείω κελλία εἰς τὸν τόπον αὐτὸν διὰ τὴν ἐκκλησίαν καὶ σπῆτι πατριαρχικὸν ὑπὸ τοῦ Ἱεροσολύμων Δοσιθέου. Κυριάρχης δὲ τοῦ ποστανίου κατὰ κληρονομίαν καὶ μέχρι τῆς σήμερον εἰμὶ ἐγώ. Ὄντος δὲ τοῦ κὺρ Παϊσίου εἰς τὴν Ἰβηρίαν, ὁ Βελὶς ἡγεμὼν τῆς Ἱερουσαλὴμ ἐτυράννησε καὶ ἐζημίωσε πολλὰ καὶ τοὺς κατοικητάς της καὶ τὸν ἀποστολικόν της θρόνον· ὅθεν προσκλαυθέντες τῷ σουλτάνῳ, ὄντι τότε εἰς τὴν Προῦσαν, ἐξώσθη τῆς ἡγεμονίας ὁ Βελίς.

Οἱ Ἀρμένιοι ἔδωκαν χρήματα πολλὰ τῷ Σουλεϊμὰν Ἀγᾷ κεχαγιὰ τοῦ ῥεῒζ ἐφένδι, διὰ νὰ λάβουν εἰς τὴν ἐξουσίαν τους τὸν ἅγιον Ἰάκωβον, συνεφώνησαν μὲ τὸν δραγομάνον τῆς Πόρτας Παναγιώτην Νικώσιον ἐμπαθῶς ἔχοντα κατὰ τοῦ κὺρ Παϊσίου. ἀνήγγειλαν τῷ βεζίρι οἱ Ἀρμένιοι, ὅτι πρὸ 300 χρόνων ἦσαν κυριάρχαι τοῦ ἁγίου Ἰακώβου. Ἐρωτηθεὶς κρυφίως ὁ Παναγιώτης παρὰ τοῦ βεζίρι διὰ τὴν ἀλήθειαν ἐβεβαίωσε τὸ ψεῦδος τῶν Ἀρμενίων διὰ μνησικακίαν τὴν πρὸς τὸν Παΐσιον (εὖγε τῆς συνειδήσεως καὶ τοῦ χριστιανισμοῦ!). Ὅθεν ὁ βεζίρης Κιοπρουλῆς ἔδωκε φερμάνι τοῖς Ἀρμενίοις, διὰ νὰ λάβουν εἰς τὴν ἐξουσίαν τους τὸν ἅγιον Ἰάκωβον, καὶ ἐν τῇ Βηθλεὲμ πόρταν, καὶ κῆπον, καὶ δύο οἴκους τῶν Χαπαισίων· καὶ κατακρατοῦσιν αὐτὰ μέχρι τῆς σήμερον.

Ὠκοδόμησεν οἴκους ἐν τῇ Ἰόππῃ ὁ Παΐσιος πρὸς κατάλυμα τῶν διὰ θαλάσσης ἐρχομένων προσκυνητῶν, οἵτινες μέχρι τοῦδε κατέλυον ἐπὶ τῆς ψάμμου συγκαιόμενοι ὑπὸ τοῦ ἡλίου καὶ ψυχραινόμενοι ὑπὸ τοῦ ψύχους τῆς νυκτός, οἵ τε Ἄραβες ἔκλε-

πτον τὰ πράγματα αὐτῶν. Μιμηθέντες δὲ τὸν Παΐσιον ἔκτισαν ἐκεῖσε ὕστερον οἴκους οἵ τε Ἀρμένιοι καὶ οἱ Λατῖνοι.

Τοῦ ἐν Λύδῃ ναοῦ τοῦ μεγαλομάρτυρος Γεωργίου, ἐν ᾧ ἐστι καὶ ὁ τάφος τοῦ ἁγίου, ἔλαβόν ποτε τὸ ἥμισυ οἱ Σαρακηνοὶ καὶ ἔκαμαν μεστζίτη καὶ μετρεσέν. Ὕστερον δὲ λαβόντες καὶ οἱ Ὀθωμανοὶ τὸ ἕτερον ἥμισυ, ἔμειναν ἄνευ ἐκκλησίας οἱ χριστιανοί. Ὅθεν διὰ χρημάτων ὁ Παΐσιος ἔλαβε τὸ ἥμισυ τοῦ ναοῦ, ἤτοι τὸ ἀπὸ τῆς μέσης ἕως εἰς τὸ λῆγον πέρας τοῦ ναοῦ.

Μεταξὺ τῆς Ἱερουσαλὴμ καὶ τῆς Βηθλεὲμ κεῖται ναὸς τοῦ προφήτου Ἠλιοῦ μετὰ περιοχῆς, ἧστινος φθαρείσης ἀνανεώσατο τὸ μέρος τὸ πρὸς δυσμὰς ὁ Παΐσιος πληρεστάτῃ δαπάνῃ χρημάτων.

Ἰσοὺφ ὁ Σαλαχαδίνης λαβὼν τὴν Ἱερουσαλὴμ παρὰ τῶν Λατίνων ἔκτισε τὰ παράθυρα τοῦ ναοῦ τοῦ Ἁγίου Τάφου, καὶ ἐλειτούργουν οἱ ἱερεῖς ἐν ζόφῳ· ἀλλ᾽ ὁ Παΐσιος ἠνέῳξε τὸ τοῦ βήματος καὶ ἄλλα πολλά, καὶ γέγονε φωτεινὸς ὁ θεῖος οὗτος ναός, καὶ διωρίσθη γίγνεσθαι καὶ τὴν λειτουργίαν, ὅταν ἡμεῖς θέλωμεν, καὶ οὐχ ὡς τὸ πρότερον ἀορίστως.

Τὸν ἐν τῷ μετοχείῳ τῷ ἐν Κωνσταντινουπόλει δυτικὸν κῆπον ἠγόρασεν ὁ κὺρ Παΐσιος.

Ἀπελθὼν εἰς τὴν Ἀδριανούπολιν καὶ ἐντυχὼν τῷ βεζίρι Κιοπρουλῆ καὶ δοὺς αὐτῷ σαμουρόγουναν, ἔκλαιε ζητῶν τὸν ἅγιον Ἰάκωβον. Ὁ δὲ βεζίρης ἀπατηθεὶς πάλιν παρὰ τοῦ ῥεῒζ ἐφένδι, οὐκ ἤκουσε τοῦ πατριάρχου.

Ἀπὸ Κωνσταντινουπόλεως κατὰ μῆνα σεπτέμβριον τοῦ ἔτους 1660 ἀπῆλθεν εἰς τὴν Κῆο, Προῦσαν, Μιχαλίτζη, Πέργαμον καὶ Καλίπολιν χάριν ἐλεημοσύνης, μικράν τε τινὰ ἀθροίσας ἦλθεν εἰς Λέσβον ἀσθενῶν ὑπὸ αἱμορροΐδων, κἀκεῖθεν εἰς Χῖον, λυπούμενος τὰ μέγιστα καὶ διὰ τὸν ἅγιον Ἰάκωβον καὶ διὰ τὸ πολὺ χρέος, καὶ ὑπὸ τῆς λύπης οὐδὲ τῆς νόσου ἀναλαμβάνων, καίτοι χρώμενος ἰατροῖς. Εἶτα ἐπῆλθεν εἰς τὴν Κῶ, Πουδρούμι ἤτοι Ἁλικαρνασόν, καὶ Ῥόδον, κἀκεῖθεν ἐπιβὰς πλοίου, ἵνα εἰς Ἀτάλειαν ἀπέλθῃ, παρηλλάξας τὸ Καστελόροιζον θνήσκει ἐν τῷ πλοίῳ ὑπὸ τῆς ἀσθενείας ἔτει σωτηρίῳ 1660 δεκεμβρίου β', πατριαρ-

χεύσας ἔτη 16, καὶ ἐτάφη ἀντίπερα τοῦ Καστελοροίζου, ἀλλὰ μακρὰν αὐτοῦ ὡσεὶ μίλια 10 ἐν τῇ κορυφῇ σκοπιᾶς τινος παρὰ τῇ θαλάσσῃ κειμένης.

— Ἔτει 1648. Μάξιμος ἐκ Καλλιουπόλεως μαθητὴς Κυρίλλου τοῦ Λουκάρεως ἐν τῇ Εὐρώπῃ, χαριζόμενος τοῖς Κάλβινισταῖς, εἰς τὴν ἁπλῆν φράσιν τῶν Ἑλλήνων μετενήνοχεν ἅπασαν τὴν Καινὴν Διαθήκην, ἣν τυπώσαντες οἱ τὰ τοῦ Καλβίνου φρονοῦντες πλείστας βίβλους προσήνεγκαν ἐν Κωνσταντινουπόλει, καὶ τὸν πατριάρχην Παρθένιον τὸν νέον κατέπεισαν διανεῖμαι αὐτὰ τοῖς χριστιανοῖς πρὸς ψυχικὴν ὠφέλειαν. Ὁ δὲ Συρίγου Μελέτιος ἐπ' ἄμβωνος ἀθέσμως ταῦτα γίνεσθαι παρὰ τὸ τῆς ἐκκλησίας ἔθος δείξας τῷ λαῷ, τῷ ἀναθέματι ὑπεβλήθη ὅ τε μεταφράσας, καὶ ὁ ἀναγινώσκων καὶ ὁ συνεργῶν ἐν τῇ αὐτῶν συστάσει.

— Ἔτει 1654. Ὅτι ἐπληρώθη ἅπαν τὸ χρέος τοῦ οἰκουμενικοῦ θρόνου παρὰ τοῦ ἡγεμόνος τῆς Μολδοβλαχίας Βασιλείου βοεβόδα, εἴρηται τῷ ἔτει 1641. Ἀπὸ τότε οὖν εἰς διάστημα ἐτῶν 13 πῶς ἐπεφορτίσθη πάλιν τοσοῦτον χρέος, ὥστε καὶ Ἀθανάσιον τὸν Πατελάρον καὶ Ἰωαννίκιον παραιτηθῆναι, καὶ τὸν Παΐσιον φυγεῖν διὰ τὸ χρέος, ἂς τὸ συμπεράνῃ ὁ ἀναγνώστης καὶ ἂς περιγράψῃ τὰς αἰτίας, ὅποιος θέλει. Παρατρέχω οὖν τό, ὅτι τοιούτους καρποὺς δὲν ἔπρεπε νὰ τρυγᾷ ὁ θρόνος αὐτὸς ἀπὸ τὸ σύστημά του· τριπλῶς γὰρ κατεσκάπτοντο οἱ θεμέλιοι τοῦ ἀποστολικοῦ αὐτοῦ θρόνου· πρῶτον μὲν ἀπὸ τῆς ὁρμῆς τῶν ἐπιβαίνειν κατατολμούντων παρανόμως, δεύτερον ἀπὸ τὴν αἰσχροκερδίαν τινῶν τῶν ἐν τῇ Κωνσταντινουπόλει ἐνδημούντων μητροπολιτῶν, καὶ τρίτον ἀπὸ τὰς φατρίας λαϊκῶν τινων ἀρχόντων, συμφωνούντων τοῖς ῥηθεῖσι μητροπολίταις διὰ ἴδια τέλη, αἰσχροκερδῆ θελήματα, καὶ πολλάκις βιαζόντων καὶ καταδυναστευόντων πατριάρχην τε καὶ ἀρχιερεῖς διὰ τὴν ἐκτέλεσιν τῶν αἰσχροκερδιῶν των.

— Μετὰ τὴν ἅλωσιν τῆς Κρήτης οἱ Φράροι ἐν τῇ ζάλῃ τῆς αἰχμαλωσίας ἀπάταις πολλαῖς ἔλαβον τὰ βιβλία (ἅπερ ἦσαν ἐκεῖ) τῶν ἁγίων πατέρων, ἄλλοτε ἀναγκαῖα συγγράμματα διαφόρων συγγραφέων. Καὶ μετά τινας χρόνους Ἀθανάσιός τις Κύπριος

παπιστὴς καθ' Ἕλληνας ἠμφιεσμένος, καὶ τὸν ὀρθόδοξον ὑποκρινόμενος, ἀπελθὼν εἰς τὸ ὄρος τοῦ Ἄθωνος, καὶ εἰς ἄλλα μοναστήρια Θράκης, Θετταλίας καὶ Μακεδονίας, καὶ ἐκλεξάμενος πολλὰ βιβλία τῶν ἁγίων πατέρων καὶ τῆς ἔξω σοφίας, ἠγόρασεν αὐτὰ ὀλίγου τιμήματος. τοὺς δ' ἐν τῇ μονῇ τῶν λεγομένων Μετεώρων πατέρας τοσοῦτον ἠπάτησεν, ὥστε καὶ τριτάνῃ ἠγόρασε τὰ τῆς μονῆς βιβλία, ἐν ἑκάστῃ τριλίτρῳ ἀναδιδοὺς αὐτοῖς τὴν συμπεφωνηθεῖσαν ποσότητα ἀργυρίων.

— Ἔτει σωτηρίῳ 1660. Κατάστασις τῆς ὀρθοδοξίας ἔν τισι τόποις τῆς Μικρᾶς Ἀσίας.

Ἡ ἐν τῇ Ποντοηρακλείᾳ ἐκκλησία κατεκάη λανθανόντως ὑπὸ τοῦ ἱερέως· ὅθεν καὶ διεσκορπίσθησαν ἐκεῖθεν οἱ χριστιανοί. Ἐν τῇ Ἀμάστριδι εἰσὶ πολλαὶ ἐκκλησίαι καὶ καμπαναρεῖα, ἀλλ' οὐδεὶς χριστιανός. Ἐν τῇ Οἰωνοπόλει, ἥντινα καὶ Ἀβώνου Τεῖχος λέγει ὁ Λουκιανός, εἰσὶ πέντε χωρία ὀρθόδοξοι, ἕως ὀγδοήκοντα οἰκίας ποσούμενοι. Ἡ δὲ πόλις Στεφάνη ἡ παρὰ τῇ Σινώπῃ ὑπὸ Ῥώσων ἠρημώθη. Ἡ Ἀμινσὸς Μιλησίων κτίσμα οὐκ ἔχει χριστιανὸν οὐδένα, οὔτε ἡ Νεοκαισάρεια, ἀλλ' ἐν μόνῃ τῇ Ἀμασείᾳ εἰσὶν ὀλιγοστοί. Τὸ Πολεμώνιον, ἄλλως Ἴνεος, περὶ οὗ μάχεται ὁ Νεοκαισαρείας μετὰ τοῦ Ἀμασείας, ἐστὶν ἀληθῶς τοῦ Νεοκαισαρείας. Ἐν τῇ Καρασοῦντι καὶ ἐν τῇ Τριπόλει τῇ παρὰ τῇ Τραπεζοῦντι εὑρίσκονται μερικοὶ χριστιανοί, ἐν δὲ τῷ τῆς Τριπόλεως κάστρῳ οὐδείς, ἀλλὰ μόνον ναὸς τῆς θεοτόκου ἀξιόλογος, ὃν βουληθέντες σαρακηνίσαι οἱ Ὀθωμανοὶ ἐκωλύθησαν δείγμασι πασιδήλοις, ὅθεν ἐν ἑκάστῃ κυριακῇ εἰσερχόμενοι λειτουργοῦσιν ἐκεῖ οἱ χριστιανοὶ μέχρι τῆς σήμερον. Ἡ Τραπεζοῦς καὶ ἡ ἐν αὐτῇ ἐκκλησία τοῦ ἁγίου Βασιλείου ἐκτίσθησαν παρὰ Ἰουστινιανοῦ τοῦ Μεγάλου· μητρόπολις δὲ τοῦ Τραπεζοῦντος μετὰ τὴν ὑπὸ τῶν Ὀθωμανῶν ἅλωσιν ἦν ἡ ἐκκλησία τοῦ ἁγίου Φιλίππου ἔξω τῆς πόλεως κειμένη, εἰς ἣν ἐλειτούργησε καὶ ὁ Ἱεροσολύμων Παΐσιος, ἀπὸ τῆς Ἰβηρίας ἐπανερχόμενος, ἥντινα τῷ ἔτει 1674 ἐσαρακήνισαν οἱ Ὀθωμανοί. Ἀπὸ Σουρμένων ἕως Γγουρίας καὶ τοῦ ποταμοῦ Τζορόχι ἐσαρακήνισαν οἱ Λαζοί, καὶ οὐκ ἔμεινεν ἤδη οὐδεμία ἐκκλησία ἢ ἱερεὺς ἐν ὅλῃ ἐκείνῃ τῇ ἐπαρχίᾳ. Τὸ μοναστήριον τοῦ Σουμελᾶ τῆς Τραπεζοῦντος ἀπέχει ὁδὸν

ἡμερῶν δύο, ἐν τοῖς ὄρεσι κείμενον ἐπὶ κρημνῶν καὶ δυσβάτων τόπων, εἰς ὃ οἱ ἀποδημοῦντες εἰσέρχονται διὰ κλίμακος. Ἔστι δὲ εἰκὼν τῆς θεοτόκου ἐν τῷ Σουμελᾷ ὡσεὶ πηχυαία, καὶ λέγεται ἱστορηθῆναι παρὰ τοῦ Λουκᾶ. Εἰσὶ τὰ νῦν ἐν τῇ Τραπεζοῦντι ἐκκλησία τῶν γειτονιῶν καὶ μοναστήριον τῆς θεοτόκου, Θεοσκέπαστος ἐπιλεγόμενον. Μεταξὺ τῶν δύο βουνῶν, ὅπου ἐστὶν ὁ ποταμὸς ὁ ἀπὸ τοῦ Σουμελᾶ καταβαίνων, τῇ τῆς θεοτόκου βοηθείᾳ αἱ εὑρισκόμεναι κῶμαι χριστιανίζουσιν. Ὁμοίως καὶ τὰ ἀπὸ τοῦ ὄρους Σουμελᾶ χωρία ἕως Κανὶν εἰσὶ χριστιανικά. ὄρος δὲ ἐστὶ τοῦτο τὸ Κανίν. Ἔξω τῆς Θεοδοσιουπόλεως ἔν τινι ὄρει ἐστὶν ἐκκλησία μικρά· εἰσὶ δὲ ὀρθόδοξοι ἱκανοὶ ἔν τε τῇ πόλει καὶ ἐν πολλοῖς χωρίοις. Οἱ παπισταὶ ἐπαπίστισαν ἐν αὐτοῖς Ἀρμενίους τινάς.

— Ἔτει 1661. Ὁ Κωνσταντινουπόλεως Παρθένιος ὁ Μογιλάλος, ὁ Βασίλειος βοεβόδας παρὼν ἐν τῇ Κωνσταντινουπόλει (ἡγεμονεύοντος Μολδαβίας τοῦ υἱοῦ αὐτοῦ Στεφάνου) ὁ δραγομάνος τῆς Πόρτας Παναγιώτης ὁ Νικόσιος καὶ ἡ σύνοδος τῶν ἐνδημούντων ἀρχιερέων τε καὶ ἀρχόντων τῶν παρευρεθέντων ψηφίζεται εἰς πατριάρχην Ἱεροσολύμων τὸν Σιναΐτην Νεκτάριον· καὶ δῆτα πέμπουσι τὸν Φιλιππουπόλεως Γαβριὴλ, ἵνα τελειώσῃ τὸ ἔργον· ὅστις φθάσας εἰς Ἰόππην ἤκουσε τὴν εἰς τὴν Γάζαν ἔλευσιν τοῦ Νεκταρίου. Θανόντος γὰρ τοῦ Σιναίου Ἰωάσαφ προχειρισθεὶς ἐπίσκοπος ὁ Νεκτάριος ἤρχετο χειροτονηθῆναι· ἀλλὰ χειροτονεῖται πατριάρχης Ἱεροσολύμων ἔσω τοῦ Ἁγίου Τάφου τῇ κυριακῇ τῶν βαΐων.

Σκεπάζει κελλία τινὰ ὄντα διεφθαρμένα· ἀγοράζει τοὺς οἴκους πλησίον τοῦ ναοῦ τοῦ Προδρόμου γροσ. 1700. ἐλθὼν διὰ Γάζης εἰς τὸ Ῥέμλι οἰκοδομεῖ κατοικίας, μὴ οὔσας πρότερον πρὸς κατάλυμα τῶν τοῦ θρόνου πατέρων.

Ἔρχεται εἰς τὴν Κωνσταντινούπολιν ἔτει 1662 σεπτεμβρίῳ· κἀκεῖθεν ἀπῆλθεν εἰς τὸ Γιάσιον ἔτει 1663 σεπτεμβρίῳ· κἀκεῖθεν εἰς τὴν Βλαχίαν ἔτει 1664 ἀπριλλίῳ, εἶτα εἰς Ῥουστζοῦκι, Ῥάσγρατα, Προβάτου, Βάρναν, Τύρνοβον, Ἀδριανούπολιν, ὅπου ἦν καὶ ὁ σουλτὰν Μεχμέτης ὁ δ', κἀκεῖθεν εἰς Βυζάντιον, ἀσθενῶν ὑπὸ τοῦ κόλικος πρὸ πολλοῦ καὶ τῆς ζωῆς ἀπεγνωσμένος· ἀλλ'

ἀπελθὼν εἰς τὸ ἁγίασμα τῆς Ζωοδόχου Πηγῆς, ἁγιασμὸν ἐπιτελέσας καὶ πιὼν ἐξ αὐτοῦ, ἐν ἀκαρεῖ ἀφῆκεν αὐτὸν ὁ κώληξ καὶ ἕως θανάτου οὐκέτι προσεπάλαισεν αὐτῷ.

Τὰ πέτρινα οἰκοδομήματα, ὧν τὸ ἓν ἐστὶ βιβλιοθήκη, δέδωκεν τῷ Ἁγίῳ Τάφῳ ὁ πρωτογουνάριος Μανολάκις ὁ Καστοριανός· καὶ ὁ αὐτὸς διὰ προτροπῆς τοῦ πατριάρχου Νεκταρίου ἀνεκαίνισε τὴν στέγην τοῦ ναοῦ τῆς Βηθλεέμ, ἀποστείλας διὰ τοῦ Φιλοθέου μοναχοῦ εἰς Ἰόππην ξύλα 40, δεκαπεντεπηχαῖα, καὶ ὀκτωπηχαῖα 80, καὶ σανίδας καὶ σίδηρον καὶ ἥλους, προσεπιμετρήσας καὶ τῷ πατριάρχῃ διὰ τὴν οἰκοδομὴν καὶ φλωρία 20000 καὶ σταυρὸν πολύτιμον.

Εἶτα διὰ Καλλιουπόλεως, Λέσβου, Σμύρνης, Χίου καὶ Ῥόδου ἐπανῆλθεν εἰς τὴν Ἱερουσαλὴμ ἔτει 1665 σεπτεμβρίῳ· ἔθετο τὰ ἅγια λείψανα ἐν θήκαις κρυσταλλίναις, δήσας ἔξωθεν ἀργυρῷ καταδέσμῳ καὶ ἐν ἑκάστῳ βαλὼν ἔξωθεν χάρτην δηλοῦντα, τίνος ἁγίου ἐστὶ λείψανον· καὶ κατασκευάσας δύο ἀντίπηγας ἔβαλεν αὐτὰ ἔσω· ἔδησε δὲ μετὰ χρυσίου, ὅσον κατὰ τὰς γωνίας, καὶ τὸ εὑρισκόμενον τίμιον ξύλον ἐν τῇ Ἱερουσαλήμ· κατὰ δὲ τὸ πλάτος ἔβαλε κρύσταλλα καὶ ἐν ἑνὶ μέρει ἐποίησε θυρίδιον μετὰ κλειδός, ἵνα κλείηται καὶ πάλιν ἀνοίγηται χάριν προσκυνήσεως. Εἶτα κατεσκεύασε τὸ σύνθρονον τῆς ἁγίας τοῦ Χριστοῦ ἀναστάσεως· ἀνεκαίνισε καὶ τὰ κελλία καὶ τὰ τείχη τὰ σεσαθρωμένα τῆς λαύρας τοῦ ἁγίου Σάββα, καὶ ἔκτισε καὶ κελλίον μεγάλον πρὸς κατάλυμα τῶν ξένων, κἂν τῷ μοναστηρίῳ τοῦ Ἀρχαγγέλου ἔτει 1667 πολλὰ ἀνεκαίνισεν.

Δελεάσαντες οἱ Φράροι ἐν τῇ Ἱερουσαλὴμ τὸν ἐπίτροπον τοῦ πατριάρχου Λαυρέντιον, ἔλαβον δολίως ἀπὸ τῶν Ῥωμαίων τὰ πρωτεῖα ἔν τε τῷ Κουβουκλείῳ τοῦ Ἁγίου Τάφου καὶ ἐν ταῖς λιτανείαις· περὶ ὧν μεσιτεύσας ὁ ῥεσιδέντες τῆς Νεμτζίας ἐποίησεν αὐτοῖς καὶ ὁρισμόν. Ὅθεν γέγονε μάχης προπαρασκευὴ μεταξὺ Ῥωμαίων καὶ Φράγκων. Ἀνῆλθεν οὖν ὁ Νεκτάριος εἰς τὴν Κωνσταντινούπολιν ἔτει 1668, πατριαρχεύοντος τοῦ οἰκουμενικοῦ πατριάρχου Μεθοδίου τοῦ ἀπὸ Ἡρακλείας, καὶ διὰ τὰς πολλάς του ἀσθενείας παρητήθη τοῦ θρόνου. Καὶ τότε συνέθετο τὸ ἐπωφελὲς καὶ ἀναγκαιότατον κατὰ Λατίνων σύνθημα, καὶ ζή-

σας ἔτη τὰ πάντα ἐν οἷς ἐπατριάρχευσεν ἔτη μόνον ὀκτώ, μετέβη εἰς τὰς αἰωνίους μονάς.

— Ἔτει 1662. Κεφάλαιον τριακοστὸν δεύτερον. Πατριαρχεία Διονυσίου τοῦ γ' τοῦ ἀπὸ Λαρίσσης.

Πατριαρχεύσαντος τοῦ Παρθενίου ἔτη τέσσαρα καὶ μῆνας δύο καὶ παραίτησιν τοῦ θρόνου ποιησαμένου, λαβόντος τε ἀντ' αὐτοῦ τὴν Προῦσαν προεδρικῶς, ἀναβιβάζεται εἰς τὸν πατριαρχικὸν τῆς Κωνσταντινουπόλεως θρόνον τρίτος τῷ τοιούτῳ ὀνόματι Διονύσιος, ὁ ἀπὸ τῆς νήσου Ἄνδρου καὶ μητροπολίτης Λαρίσσης, ὁ ἐπικληθεὶς Σπανός τε καὶ Πάρδαλις Ἀγρία, ἰουνίου τῇ κθ' ἡμέρᾳ κυριακῇ. Τοῦτον ὑπερεπαινεῖ ὁ Ἱεροσολύμων Δοσίθεος, μετὰ Τιμόθεον, λέγων, οὐκ ἔχων συγκρινόμενον αὐτῷ πατριάρχην Κωνσταντινουπόλεως ἕως τῆς ὥρας ταύτης ἐπὶ φρονήσει καὶ ζωῇ ἐναρέτῳ· καὶ τούτῳ ἀφιέρωσεν ὁ αὐτὸς Δοσίθεος τὸ βιβλίον αὐτοῦ, ᾧ ὄνομα Καταλλαγή. Διὰ προτροπῆς τοῦδε τοῦ πατριάρχου Διονυσίου ὁ πρωτογουνάριος Μανολάκις ὁ Καστοριανὸς συνεστήσατο σχολεῖα ἔν τε τῇ Κωνσταντινουπόλει καὶ Χίῳ καὶ Ἄρτῃ δι' ἰδίων ἐξόδων.

Ἰωαννίκιον τὸν ἀπὸ Βερροίας πατριαρχεύσαντα τοῦ πατριαρχικοῦ θρόνου Ἀλεξανδρείας ἔτη ἐννέα καὶ θανόντα, διεδέχθη ὁ Παΐσιος, χειροτονηθεὶς ἐν τῷ λεγομένῳ Παλαιὸν Μισίρι. Αὕτη δὲ ἡ Βέρροια ἔστιν ἡ ἐν τῇ Συρίᾳ τουρκιστὶ λεγομένη Χαλέπι.

— Ἔτει 1663. Πυρκαϊὰ εἰς τὴν πόλιν, καὶ καίονται αἱ οἰκίαι τῶν Ἑβραίων αἱ οὖσαι ἀπὸ τῷ Βαλιδὲ χάνι καὶ αἱ ἀπὸ τοῦ Ζινδὰν καπισὶ ἕως τοῦ τείχους τοῦ Βυζαντίου· καὶ ἐδιώχθησαν τοῦ λοιποῦ ἀπὸ ἐκεῖνα τὰ μέρη οἱ Ἑβραῖοι, εὐαρίθμων τινῶν οἴκων ἑβραϊκῶν σῳζομένων τανῦν μόνον εἰς τὸ Παλοὺκ παζάρι.

Ἥνωσεν ὁ πατριάρχης τῇ μητροπόλει τοῦ Φιλίππου καὶ Δράμας τὰς δύο ἐπαρχίας τοῦ Ζυχνῶν καὶ Νευροκόπου διὰ συνόδου τοπικῆς.

— Ἔτει 1666. Δευτέρα πατριαρχεία τοῦ αὐτοῦ Παρθενίου τοῦ ἀπὸ Προύσης, τοῦ ἐπιλεγομένου Μογιλάλου.

Ἐπανακάμψας ἀπὸ τῆς Βλαχίας ὁ προρρηθεὶς πατριάρχης Παρθένιος ὁ δ', ὁ ἀπὸ Προύσης καὶ Μογιλάλος ἐπικαλού-

μενος, ἀναβιβάζεται τὸ δεύτερον εἰς τὸν πατριαρχικὸν οἰκουμενικὸν θρόνον κατὰ τὴν κε΄ τοῦ δεκεμβρίου, ἐξώσας τὸν Διονύσιον.

Ἑβραῖος τις Κωνσταντινουπολίτης τοὔνομα Σαπετάϊ Σεβὶ μετὰ τὸν διωγμὸν τὸν μετὰ τὴν ῥηθεῖσαν πυρκαϊὰν ἐλθὼν εἰς τὴν Σμύρνην, κἀκεῖθεν εἰς Γάζαν καὶ Ἱερουσαλήμ, καὶ ἐπανελθὼν εἰς τὴν Σμύρνην, προσποιεῖται τὸν Μεσίαν, ὡς ἐγένετο πάλαι ποτὲ ἐν τῇ Κρήτῃ, ἀπατᾷ τοὺς Ἑβραίους καὶ φθείρει παρθένους αὐτῶν· καὶ γίνεται ἄτοπα πολλὰ καὶ κινήματα Ἰουδαίων ἀπό τε Λεχίας, δύσεως, Ἀφρικῆς καὶ δυτικῶν ἐπαρχιῶν, τῶν ὑπὸ τοῖς Ὀθωμανοῖς. Μεταπέμπεται αὐτὸν ὁ βεζίρις ἀπὸ Καλλιουπόλεως, καὶ εἱρκτῇ παραδοὺς ἐξορίζει εἰς τῆς Ἀβύδου τὸ φρούριον· μὴ ἡσυχαζόντων δὲ τῶν Ἰουδαίων, τοῦ σουλτὰν Μεχμέτι τοῦ δ΄ ὄντος εἰς τὴν Ἀδριανούπολιν καὶ τοῦ Βεζίρι ἀπελθόντος εἰς τὴν Κρήτην, ὁ ἀνθύπατος τῆς Κωνσταντινουπόλεως μεταπέμπεται δέσμιον τὸν Σαπετάϊν καὶ πέμπει εἰς τὴν Ἀδριανούπολιν πρὸς τὸν σουλτάνον, καὶ φοβηθεὶς ἐτούρκισεν. Εἶτα μὴ παυσαμένων τῶν αὐτοῦ ἀτοπημάτων, ἐξωρίσθη εἰς τὴν Κορώνην κἀκεῖσε τὴν ψυχὴν ἐξέμεσεν. Ἀλλ᾽ ὕστερον τῷ ἔτει 1683 νέος τις Ἑβραῖος ἐν τῇ Θεσσαλονίκῃ προσποιεῖται τὸν Μεσίαν, καὶ ἐπίστευσαν αὐτῷ οἱ Ἑβραῖοι, καὶ μεταπεμφθεὶς ὑπὸ τοῦ σουλτάνου σαρακηνίζει, καὶ ἐπανελθὼν εἰς τὴν Θεσσαλονίκην εἶχον αὐτὸν οἱ Ἑβραῖοι ὡς Μεσίαν, καὶ δι᾽ αὐτοῦ ἐτούρκισαν ἔν τε τῇ Θεσσαλονίκῃ καὶ Σέρραις ὑπέρμετροι Ἑβραίων καὶ χαχάμιδες ὀγδοηκονταετεῖς πλεῖστοι ὅσοι.

Τὸν Ἀλεξανδρείας πατριάρχην Παΐσιον ἀπελθόντα εἰς Μοσχοβίαν καταβιβάζει παρανόμως τοῦ θρόνου φθονήσας ὁ πατριάρχης οὗτος Παρθένιος ὁ Μογιλάλος προφάσει δῆθεν τῆς βασιλικῆς ἐπιταγῆς, δι᾽ ἧς ἐκωλύετο τὸ ἀπέρχεσθαι ἐκεῖσε πατριάρχην τινὰ τῆς ἀνατολικῆς ἐκκλησίας ἢ ἀρχιερέα, καὶ εἰσήγαγεν ἀντ᾽ αὐτοῦ εἰς τὸν θρόνον τῆς Ἀλεξανδρείας τὸν Ῥόδου μητροπολίτην Ἰωακεὶμ κατὰ μῆνα νοέμβριον τοῦδε τοῦ ἔτους. ἀλλὰ καὶ ὡς πάλιν ἐξεβλήθη ὁ Ἰωακεὶμ ὡς ἐπιβάτης, καὶ ἔμεινεν ὁ γνήσιος ποιμὴν Παΐσιος. Ἐποίησε δὲ καὶ ἄλλα κακὰ καὶ ἄθεσμα ὁ πατριάρχης οὗτος Παρθένιος.

— Ἔτει 1667. Ἐπιπήδησις τοῦ Κλήμεντος τοῦ ἀπὸ Ἰκονίου.

Κατὰ τὴν θ′ τοῦ δεκεμβρίου ἡμέρᾳ β′ ἐπιβαίνει τοῦ θρόνου ὁ μητροπολίτης Ἰκονίου Κλήμης, ἐξορίσας εἰς τὴν Τένεδον τὸν πατριαρχεύοντα Παρθένιον. Ἀλλ᾽ οἱ ἀρχιερεῖς οὐ ποιήσαντες τὴν μετάθεσιν ἦλθον εἰς τὴν Ἀδριανούπολιν, ἔνθα διέτριβε τότε ὁ σουλτὰν Μεχμέτις ὁ δ′· καὶ ἔμεινεν ὁ θρόνος χηρεύων πατριάρχου μῆνας τρεῖς καὶ ἡμέρας 25.

Τὸν πάπαν Ἀλέξανδρον τὸν ἕβδομον θανόντα διεδέχθη Κλήμης ὁ ἔννατος ἀπὸ Πιστόγιαν πόλιν τῆς Ἰταλίας ἰουνίου δεκάτῃ ἐννάτῃ.

— Ἔτει 1668. Κεφάλαιον τριακοστὸν τρίτον. Πατριαρχεία Μεθοδίου τοῦ ἀπὸ Ἡρακλείας.

Τούτῳ οὖν τῷ ἔτει Μεθόδιος ὁ γ′ ὁ ἀπὸ Ἡρακλείας ψήφῳ καὶ δοκιμασίᾳ κοινῇ τῶν ἀρχιερέων ἀναβιβάζεται εἰς τὸν οἰκουμενικὸν θρόνον τῆς Κωνσταντινουπόλεως μὲ μεγάλα ἔξοδα· ὅστις τὸ βασίλειον ἔνδυμα ἐνδυθεὶς ἀπὸ τῶν ἐν τῇ Ἀδριανουπόλει ἀνακτορίων ἕως εἰς τὴν μητρόπολιν ἐπανακάμπτων ἔφιππος ἐφόρει εἰς τὴν κεφαλὴν κόκκινον πῆλον ἐκ βελούδου, ἤτοι μεταξωτοῦ, λευκοὺς σταυροὺς χρυσοῦς μετὰ μαργάρων ἔχοντα· ἀλλ᾽ ἐξ ἐκείνου ἐξέλιπε τὸ σκιάδιον· οὐδεὶς γὰρ μετὰ τὸν Μεθόδιον ἐπὶ κεφαλῆς ἢ ἐν ταῖς χερσὶν ἔφερον σκιάδιον, ὡς οἱ πρὸ τοῦ Μεθοδίου ὁδεύοντες εἰώθασι φέρειν εἰσερχόμενοί τε καὶ ἐξερχόμενοι τῆς βασιλείου αὐλῆς.

Ἔδωκεν ὁ πατριάρχης Μεθόδιος τὴν μητρόπολιν τοῦ Προϊλάβου τῷ ἐξωσθέντι πατριάρχῃ Παρθενίῳ διὰ προζωάρκιον, εἶτα μετὰ μικρὸν ἔδωκε τὴν ἐπαρχίαν τοῦ Τυρνόβου.

— Ἔτει 1669. Παραιτηθέντος οὖν τοῦ κὺρ Νεκταρίου γίνεται πατριάρχης Ἱεροσολύμων ὁ Καισαρείας τῆς Παλαιστίνης Δοσίθεος ἰαννουαρίου τῇ κγ′ τοῦδε τοῦ ἔτους. Εὗρε χρέος τοῦ Ἁγίου Τάφου ἐν μὲν τῇ Κωνσταντινουπόλει γρόσια 16000, ἐν δὲ τῇ Ἱερουσαλὴμ γρόσια 65000, καὶ τριῶν χρόνων τόκους ἀπληρώτους. Ὁ δὲ Νεκτάριος γέρων καὶ ἀσθενὴς ἀπῆλθεν εἰς Ἱεροσόλυμα ἐπιτροπικῶς κατὰ μῆνα ἰούνιον. Εἶτα πέμπει εἰς τὴν Ἱερουσαλὴμ ὁ Δοσίθεος διὰ τοῦ μοναχοῦ Γερασίμου γρό-

σια 10000, διὰ νὰ δωθοῦν εἰς τὰ χρέη, καὶ ἀπῆλθεν εἰς τὴν Ἀδριανούπολιν χάριν ἐλεημοσύνης κατὰ μῆνα ἰούνιον, κἀκεῖθεν εἰς Φιλιππούπολιν, Στενίμαχον, Παζαρτζίκι, Ἐσκὶ Ζαγορὰν καὶ Γιάνπολιν, καὶ πέμπει εἰς τὴν Ἱερουσαλὴμ διὰ τῶν μοναχῶν Καλλινίκου καὶ Παρθενίου γρόσια 12000, εἶτα ἀπῆλθεν εἰς Σίλιμνον, Ἀλβανιτοχώριον, Τούρναβον, καὶ Τζερβένβοδα ἔτει σωτηρίῳ 1670· κἀκεῖθεν εἰς Δρύστραν, Φλότζι καὶ Βουκουρέστιον. Ὁ δὲ Νεκτάριος εἰς τὴν Ἱερουσαλὴμ, παρόντος τότε ἐκεῖσε καὶ τοῦ πρώην Κωνσταντινουπόλεως Διονυσίου, ἔψησεν ἅγιον μύρον πολὺ καὶ θαυμαστόν· ὅ τε Δοσίθεος ἐν Βουκουρεστίῳ τῇ τοῦ κοινοῦ δαπάνῃ ἔψησεν ἅγιον μύρον φέρων ὁλκὴν λύτρων 210.

Συντίθησιν ὁ Νεκτάριος τὸ λεγόμενον Σύνταγμα κατὰ τῆς τοῦ πάπα ἀρχῆς.

Ὁ δὲ Δοσίθεος ἐκ Βουκουρεστίου ἀπελθὼν εἰς Γιάσιον τῆς Μολδαβίας, ἔλαβε τὸ μοναστήριον τὴν Τζετατζούγιαν, τὸ ἐκ βάθρων οἰκοδομηθὲν παρὰ τοῦ Δούκα βοεβόδα, καὶ τὸ μοναστήριον Κλῆντζα. Κἀκεῖθεν διὰ τῆς Ἀδριανουπόλεως ἐπανῆλθεν εἰς τὴν Κωνσταντινούπολιν, ἐξ ἧς ἦλθε πάλιν εἰς τὴν Ἀδριανούπολιν ἀπαντήσων τὴν ἐπίρροιαν τοῦ πρέσβεως τῆς Φράντζας, κἀκεῖθεν ἀπῆλθεν εἰς Ἱεροσόλυμα ἔτει 1671 κατὰ μῆνα μάρτιον μὲ ἀργυρᾶς κανδήλας 40 καὶ χρυσῆν μίαν, καὶ χρυσοῦν θυμιατήριον, καὶ ἐδιωρθώθη ἱκανῶς τὸ ἐν τῇ Ἱερουσαλὴμ χρέος, καὶ ἠλευθερώθησαν ἐκ τῶν χειρῶν τῶν χρεωφειλέτων τὰ δοθέντα αὐτοῖς εἰς ἐνέχυρον σκεύη τοῦ Ἁγίου Τάφου. Καὶ ἐκρήμνισεν ὁ Δοσίθεος κτήρια τινὰ αἱρετικῶν ἔνδον ἐν τῷ μεγάλῳ ναῷ ὄντα κατὰ τὸ νότιον μέρος τοῦ ἁγίου Κουβουκλείου· καὶ ἀγαγὼν τέκτονας ἀπὸ τῆς Ἀδριανουπόλεως ἀνῳκοδόμησεν τὸν κατὰ τὴν Βηθλεὲμ μεγάλον ναὸν τὸν ἐπὶ τοῦ ἁγίου Σπηλαίου, ἀπὸ σεπτεμβρίου ἕως ἰουλίου τοῦ ἔτους 1672, τὸ δὲ τέμπλον κατεσκευάσθη ὑπὸ τεκτόνων Χίων, πληρωθέντων παρὰ τῆς Χίου, τὰ δὲ ξύλα τοῦ τέμπλου καὶ τὸ χρύσωμα ἐπλήρωναν ἄλλοι πτωχοί· τὴν δὲ ὕλην τῆς οἰκοδομῆς ὅλην ἀπέστειλεν ὁ πρωτογουνάριος Μανολάκις ὁ Καστοριανός.

Ἐπανῆλθεν εἰς τὴν Κωνσταντινούπολιν ὁ Δοσίθεος ἔτει

1672 ἰουλίῳ, καὶ ἀπαντήσας τὰς διὰ τὴν οἰκοδομὴν ἐπηρείας τῶν Φράρων ἀπῆλθεν εἰς Βλαχίαν καὶ ἔλαβε τὰ μοναστήρια Καλούγην καὶ Οὐγκρέην, κἀκεῖθεν ἐπανῆλθεν εἰς τὴν Κωνσταντινούπολιν κἀκεῖθεν εἰς Σόφιαν καὶ Πελιγράδι ἔτει 1673 δεκεμβρίῳ.

Οἱ ἐν τῇ Ἱερουσαλὴμ Φράροι μέλλοντες ὑποδεχθῆναι τὸν πρέσβυν τῆς Γαλλίας δε-Νοϊδὲλ ἀτακτοῦσι περὶ τὸ Κουβούκλειον τοῦ Ἁγίου Τάφου, στολίσαντες αὐτὸ μεγαλοπρεπῶς παρὰ πᾶσαν συνήθειαν, καὶ παρὰ τῶν πατέρων κωλυόμενοι τύπτουσι δύο πατέρας ἀφέντες ἡμιθανεῖς, καὶ φονεύουσι καὶ τρίτον μοναχὸν τοὔνομα Κλήμεντα ἔτει σωτηρίῳ 1674 μαρτίου γ'· τὰς δὲ παροινίας τοῦ ῥηθέντος πρέσβεως τὰς πρὸς τοὺς πατέρας μαθοῦσα ἡ Πόρτα, ἐπροστάχθη ἐπανελθεῖν εἰς τὴν Κωνσταντινούπολιν καὶ ἡσύχασαν οἱ πατέρες.

Ὁ ἐν τῇ Κωνσταντινουπόλει βαρδαπέτης τῶν Ἀρμενίων Ἐλεάζαρ, μεθ' οὗ τοὺς πολλοὺς καὶ διεξοδικοὺς πολέμους εἶχεν ὁ Ἱεροσολύμων Παΐσιος, δελεάσας τὸν καθολικὸν τῶν Ἀρμενίων τὸν ἐν τῇ πόλει Σῆς, ἔκαμεν αὐτὸν καθολικὸν τῆς Ἱερουσαλὴμ τῷ ἔτει 1665, εἶτα ἔκαμε μεγάλα σκάνδαλα μὲ τὸν καθολικὸν τῆς Ἀρμενίας Ἰάκωβον. Ἐκείνου γὰρ μόνου τὴν ἕψησιν τοῦ μύρου ποιοῦντος καὶ πέμποντος αὐτὸ πρὸς πάντας τοὺς ἁπανταχοῦ γῆς Ἀρμενίους καὶ συνάγοντος ἐκ τούτου ποσότητα ἱκανὴν χρημάτων, ὁ Ἐλεάζαρ ὑποσχεθεὶς διδόναι κατ' ἔτος τῷ βασιλικῷ ταμείῳ 45000 ἄσπρα ἔλαβεν ὁρισμόν, νὰ ψήνῃ τὸ μύρον ἐν τῇ Ἱερουσαλήμ. Οὗ γενομένου ἦλθεν ὁ Ἰάκωβος ἀπὸ τῆς Περσίας εἰς τὴν Ἀδριανούπολιν τῷ ἔτει 1667 καὶ δοὺς τῇ βασιλείᾳ φλωρία 20000, ἀναιρεῖ τὰ τοῦ Ἐλεαζάρου μὲ χάτι σερίφι, καὶ ἀπεφασίσθη νὰ ψήνεται τὸ μύρον μόνον εἰς τὸ Ῥεβάν· ὁ δὲ Ἐλεάζαρ ἔδωκε τῇ βασιλείᾳ ἐν τῇ Ἀδριανουπόλει πουγγεῖα 45 ἔτει 1671, καὶ γράφεται πατριάρχης τῶν Ἀρμενίων ἐν τῇ Ἱερουσαλήμ· εἶτα ἀπατήσας τὴν Πόρταν τῷ ἔτει 1673 λαμβάνει ὁρισμόν, καὶ ἀπελθὼν εἰς τὸν κριτὴν τῆς Ἱερουσαλὴμ ἔλαβε παρ' αὐτοῦ ἄδειαν λειτουργεῖν τοὺς Ἀρμενίους ἐν τῷ Κουβουκλείῳ τῷ ἐπὶ τοῦ Ἁγίου Τάφου.

Οἱ δὲ Φράροι οὐκ ἔχοντες ἀντιστῆναι αὐτῷ κατέφυγον εἰς τὸν πατριαρχικὸν ἐπίτροπον, ὅστις ἀπελθὼν εἰς τὸν κριτὴν ἀπέ-

δειξεν μὲ τὰ βασιλικὰ χρυσόβουλλα δεσπότας τοῦ Ἁγίου Τάφου εἶναι μόνον τοὺς Ῥωμαίους, καὶ διώκονται οἱ Ἀρμένιοι. Ἐρωτήσαντι δὲ τῷ κριτῇ, διὰ τί λειτουργοῦσιν ἐκεῖ ἔνδον οἱ Φράγγοι, ἀπεκρίθη τό, ὅτι δέδωκεν αὐτοῖς ἄδειαν ὁ πατριάρχης. Ὅθεν οἱ Φράγγοι ἀπατήσαντες τὸν κριτὴν ἔλαβον ἀναφοράν, ὅτι τάξις ἐστὶ λειτουργεῖν ἐκεῖ τοὺς Φράγγους, Ἀρμενίους δὲ ἤ τινα ἄλλην φυλὴν οὐδαμῶς· καὶ πέμπουσι τὸ ἰλάμι εἰς τὸν ἐπίτροπον τῆς βασιλείας ὄντα εἰς τὴν Μισίαν. Ὅπερ μαθὼν ὁ Δοσίθεος ἐν Πελιγραδίῳ ἦλθεν εἰς τὴν Ἀδριανούπολιν, ἐπανακάμψαντος ἤδη ἀπὸ Μισίας ἐκεῖσε τοῦ τε βιζίρι καὶ τοῦ βασιλέως, καὶ κρίνεται τῷ ἔτει 1675 εἰς τὸ ἄρζ ὀδασὶ μὲ τοὺς Φράρους καὶ ἀποδείκνυται μὲ τὰ χάτι σερίφια τοῦ σουλτὰν Σουλεϊμάνη καὶ τοῦ σουλτὰν Μουράτη, ὅτι οἱ Ῥωμαῖοι ἔχουσι τὸν μέγαν ναὸν τῆς Ἀναστάσεως, καὶ τὸν ναὸν τῆς Βηθλεὲμ μετὰ πάντων τῶν περιεχομένων καὶ τῶν περιεχόντων, ἤτοι μνῆμα, Γολγοθάν, Ἀποκαθήλωσιν, καὶ Σπήλαιον ἐν τῇ Βηθλεέμ, καὶ τοὺς Ῥωμαίους προτιμᾶσθαι ἔν τε τῷ μνήματι καὶ ἐν ἑκάστῃ ἐκκλησίᾳ καὶ μοναστηρίῳ, καὶ ἐν πάσῃ τάξει καὶ ἐνεργείᾳ εἶναι πρώτους, καί τῷ θελήματι αὐτῶν προσκυνεῖν τὰς ἄλλας φυλάς· καὶ διώκονται οἱ Φράροι, νικήσαντος εἰς τὴν κρίσιν τοῦ Δοσιθέου.

Σῴζεται εἰς τὸν θρόνον καὶ χοτζέτι παλαιότατον περιέχον, ὅτι τὸ νὰ εἶναι εἰς τὴν Ἱερουσαλὴμ Φράροι μόνον 36 καὶ ἐν ἑκάστῃ τριετίᾳ νὰ ἀλλάττωνται. Ἐμεσίτευσεν ὁ πρέσβυς τῆς Φράντζας, τῆς Γερμανίας καὶ τῆς Ἐγγλιτέρας κατὰ τοῦ κὺρ Δοσιθέου, ἀλλ' οὐδὲν ἤνυσαν· ὅστις ἔλαβεν ὁρισμὸν τοῦ βεζίρι μὲ δόσιν ἑβδομῆντα πουγγείων, καὶ ἔπεμψεν εἰς τὴν Ἱερουσαλὴμ μουπασίριν, ὅστις φθάσας ἐκεῖ τῷ ἔτει 1676 κατὰ μῆνα ἰαννουάριον ἐξέβαλε μὲ τὸ μέσον τοῦ καδὴ ἀπὸ τὸν Ἅγιον Τάφον τὰς ποδίας καὶ ὅσα καινὰ εἶχον οἱ Φράροι, καὶ παρέδωκε τῷ Δοσιθέῳ τὸν Ἅγιον Τάφον, καὶ τὸ πρωὶ ἐλειτούργησαν ἔνδον οἱ Ῥωμαῖοι· ἐξέβαλε δὲ καὶ τὰς τρεῖς κανδήλας τῶν Φράρων, τὰς ἐν τῇ καμάρᾳ. τὰς δὲ ἔνδον τοῦ Ἁγίου Τάφου εἴασε μένειν ὁ Δοσίθεος ἐκοντί, νομίσας φιλιωθῆναι μετ' αὐτῶν, καὶ ἐκρέμασεν ἔνδον τοῦ Κουβουκλείου καὶ ἄλλας δέκα κανδήλας.

Εἶτα οἰκοδομεῖ καμάραν ἀπὸ τοῦ πατριαρχείου μέχρι τοῦ μο-

ναστηρίου τῆς ἁγίας Θέκλης, ὅπερ ἐστὶ τῶν Ῥωμαίων, καὶ ἐγένετο καὶ τὸ μοναστήριον μὲ αὐλὴν καὶ οἰκήματα καὶ κῆπον.

Εἶτα ἐπανῆλθεν ὁ Δοσίθεος εἰς τὴν Κωνσταντινούπολιν, κἀκεῖθεν εἰς Βλαχίαν ἔτει 1677, κἀκεῖθεν εἰς Γιάσιον κἀκεῖθεν πάλιν εἰς τὴν Κωνσταντινούπολιν.

Οἱ Λέχοι διὰ νὰ εἰρηνοποιήσουν μὲ τοὺς Ὀθωμανούς, ζητοῦν τὰ προσκυνήματα τῆς Ἱερουσαλήμ, ἀλλ' οὐκ εἰσακούονται.

Λαμβάνει καὶ ἕτερον ὁρισμὸν ὁ Δοσίθεος μὲ 30 πουγγεῖα διὰ τὴν λιτανίαν, ἣν μόνοι ἐποίουν καθ' ἑκάστην ἑσπέραν οἱ Φράροι, καὶ ἤρξαντο ποιεῖν πρῶιον οἱ Ῥωμαῖοι, εἶτα μετ' αὐτοὺς οἱ Φράροι.

Εἶτα διελθὼν Νικομήδειαν καὶ Προύσην καὶ Δαμασκόν, ἦλθε πάλιν ὁ Δοσίθεος εἰς τὴν Ἱερουσαλὴμ ἔτει 1678 σεπτεμβρίῳ καὶ ἀνακαινίζει τὸ μοναστήριον τοῦ προφήτου Ἡλιοῦ ἔσωθεν καὶ ἔξωθεν, καὶ οἰκοδομεῖ καὶ τὰ ἀντιστηρίγματα τῆς ἐκκλησίας, ἀλείψας τὴν ἐκκλησίαν καὶ ἀνοίξας τὴν μεγάλην θύραν καὶ θυρίδας, καὶ ποιήσας τὸ ἱπποστάσιον, νάρθηκα, καὶ ἄλλα πολλὰ καλλωπίσας.

Ἑνοῦνται Φράροι καὶ Ἀρμένιοι κατὰ τῶν Ῥωμαίων καὶ πέμπουσιν ἄρζι τοῦ μουτεβελὶ εἰς τὸν βεζίριν· ὅπερ μαθὼν ὁ Δοσίθεος ἔρχεται δρομαῖος εἰς τὴν πόλιν, ἀπαντᾷ τὰ κακά, καὶ οὐδὲν ἀνύουσιν οἱ ἐχθροί, καίτοι πολλὰ ὑποσχεθέντες.

Ἀπέρχεται ὁ Δοσίθεος εἰς τὴν Βλαχίαν, ὄντος αὐθέντου Σερπάνου τοῦ Καντακουζηνοῦ, εἶτα εἰς τὸ Γιάσιον· εἶτα ἐπανακάμψας εἰς τὴν πόλιν πέμπει εἰς τὴν Ἱερουσαλὴμ πουγγεῖα 64 ἔτει 1681 κατὰ μῆνα ἰαννουάριον πρὸς ἐλάφρωσιν τοῦ χρέους τῶν Ἰβηρικῶν μοναστηρίων· ἦσαν γὰρ χρέει βαρυτάτῳ ὑποκείμενα, καὶ μόνον τὸ χρέος τοῦ μοναστηρίου τοῦ Σταυροῦ, ὅπερ ἔχουσιν οἱ Ἴβηρες ἐν τῇ Ἱερουσαλήμ, ὑπέκειτο εἰς χρέος γροσίων 94 χιλιάδων, καὶ οἱ δανεισταὶ Τοῦρκοι ἐζήτουν τὰ ἄσπρα καὶ ἐσφράγιζαν καὶ ἠνόχλουν τὸ μοναστήριον, καὶ οἱ Φράγγοι καὶ οἱ Ἀρμένιοι ἐβουλεύοντο πληρῶσαι τοῖς δανεισταῖς τὰ ἄσπρα καὶ λαβεῖν τὰ μοναστήρια τῶν Ἰβήρων, οἱ μὲν Φράγγοι τὸν ἅγιον Νικόλαον, οἱ δὲ Ἀρμένιοι τὰ λοιπά. Ἀπῆλθεν οὖν ὁ Δοσίθεος εἰς τὴν Ἰβηρίαν χάριν ἐλεημοσύνης διὰ τὰ χρέη τῶν ῥη-

θέντων τῆς Ἰβηρίας μοναστηρίων, καὶ ἀπάρας τῆς Κωνσταντινουπόλεως κατὰ μῆνα φευρουάριον, ἔφθασε διὰ θαλασσης εἰς τὴν Τραπεζοῦντα, κἀκεῖθεν διὰ ξηρᾶς εἰς τὴν Θεοδοσιούπολιν, κἀκεῖθεν εἰς τὸ Κάρσι πόλιν τῆς Ἀρμενίας, κἀκεῖθεν εἰς τὸ Τίφλιζι, μητρόπολιν τῆς ἄνω Ἰβηρίας, ἰουνίου ζ', καὶ ἐκεῖ ἐδιόρθωσε τὰ περὶ τοῦ χρέους τῶν μοναστηρίων αὐτῶν.

Οἱ Φράγγοι δίδωσι λιβέλον τῷ σουλτάνῳ ἔτει 1681 διά τινος παπιστοῦ Χαλεπλῆ, ζητοῦντες δοθῆναι αὐτοῖς τὸν Ἅγιον Τάφον, Γολγοθᾶν καὶ Ἀποκαθήλωσιν καὶ τὸ ἐν τῇ Βηθλεὲμ σπήλαιον τῆς Χριστοῦ γεννήσεως, ὑποσχεθέντες πολλὰς χιλιάδας φλωρίων καὶ τὰ εἰς τὸ τζαμὶ τοῦ σουλτὰν Ἀχμέτι χίλια πενῆντα γρόσια ἀνὰ ἔτος. Ὁ σουλτάνος ἔπεμψε τὸν λιβέλον εἰς τὸν βεζίριν, ὅστις ἐδίωξε τοὺς Φράγγους· ἀλλ' ὁ Κωνσταντινουπόλεως Ἰάκωβος πεισθεὶς συμβουλαῖς τινων, ἔγραψεν εἰς τὴν Ἰβηρίαν συνοδικῶς μετὰ τῶν ἀρχιερέων καὶ ἀρχόντων τῷ Δοσιθέῳ ἐπανελθεῖν εἰς τὴν Κωνσταντινούπολιν καὶ ἀπολογηθῆναι· ὅθεν ἐλθὼν ἔδωκεν πουγγεῖα 14, καὶ λαμβάνει ὁρισμὸν κατὰ τῶν Φράγγων.

Ὁ ἐπίτροπος τοῦ Ἁγίου Τάφου ἄνευ ἀδείας τοῦ κριτοῦ ἀνακαινίζει τὴν ἐκκλησίαν, τὴν οὖσαν ἐν τῷ χωρίῳ τῶν Ποιμένων τῷ κειμένῳ ὑπὸ τῇ Βηθλεὲμ ἔτει σωτηρίῳ 1681, καὶ ἀκολουθεῖ ζημία πουγγείων 10.

Ὁ πασᾶς τῆς Ἱερουσαλὴμ ἐπὶ ἔτη ἑπτὰ ζημιοῖ τὸν θρόνον τῆς Ἱερουσαλὴμ γρόσια χιλιάδας 70· καὶ τῷ ἔτει 1682 ἔστειλεν ὁρισμὸν ὁ Δοσίθεος ἀπὸ Ἀδριανουπόλεως εἰς Ἱερουσαλήμ, καὶ διωρθώθησαν αἱ καινοτομίαι τῶν κριτῶν, αἱ κατὰ τοῦ θρόνου, καὶ τὰ λοιπὰ κάκιστα ἤθη αὐτῶν.

Τῷ ἔτει 1683 κινοῦνται οἱ Φράροι ἐν τῇ Ἀδριανουπόλει κατὰ τοῦ Δοσιθέου, ζητοῦντες αὐτοὺς εἶναι πρώτους· ἀλλὰ παραστάντος τοῦ Δοσιθέου ἐδιώχθησαν ὑπὸ τοῦ βεζίρι οἱ Φράροι.

Ὁ προρρηθεὶς βαρταπέτης Ἐλεάζαρ κινεῖται κατὰ τοῦ Δοσιθέου, ὑποσχεθεὶς πολλὰ πρὸς ἀπόκτησιν τῶν Χαπαισιακῶν οἰκημάτων· ἀλλ' ἀπεβλήθη καὶ διὰ τοῦ Δοσιθέου ἐξώσθη καὶ τῆς ἐν τῇ Ἱερουσαλὴμ ἐπισκοπῆς, καὶ ἀπελθὼν εἰς τὴν Περσίαν ἐγέ-

νετο καθολικὸς τῆς Μεγάλης Ἀρμενίας κἀκεῖσε τὴν μιαρὰν ψυχὴν ἐξέμεσεν ἔτει 1692.

καὶ νέα Σιὼν ἡ ἐπὶ ὀνόματι τῆς τοῦ θεοῦ σοφίας κτισθεῖσα καὶ ἐξέλθῃ ἐξ αὐτῆς ἐξυπνήσας ὁ νῦν κοιμώμενος ἐν αὐτῇ ἅγιος βασιλεύς, ὅστις παρεικάζεται τῷ λευκῷ ἵππῳ διὰ τὴν ἁγιότητα καὶ καθαρότητα τῆς ἀμωμήτου ὀρθοδόξου πίστεως, θέλει καθήσει καὶ κατοικήσει εἰς αὐτὸν τὸν ἅγιον βασιλέα, ἵνα δι' αὐτοῦ ποιμαίνῃ τὸν λαὸν αὐτοῦ ὁ ἀρχιποιμὴν δεσπότης Χριστὸς ἐν ῥάβδῳ σιδηρᾷ, καθὼς ὁ αὐτὸς Θεολόγος ἐν τῷ αὐτῷ κεφαλαίῳ ιθ' λέγει· Καὶ αὐτὸς ποιμαίνει αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ. καὶ οὕτω λοιπὸν καθήμενος ἐπ' αὐτὸν τὸν βασιλέα ὡς ἐφ' ἵππον λευκὸν πολεμήσει διὰ αὐτοῦ τοὺς πολεμοῦντας αὐτὸν ἐναντίους τῆς ὀρθοδόξου πίστεως καὶ βασιλείας βασιλεῖς ὡς πάλιν πολεμήσας τοὺς ἀλλοφύλους βασιλεῖς διὰ τοῦ προφητάνακτος Δαβὶδ λέγοντος· Πολέμησον, Κύριε, τοὺς πολεμοῦντας σε. αὐτοὺς δὲ τοὺς πολεμοῦντας τῷ Κυρίῳ ὑποσημαίνει καὶ ὁ ἅγιος Ἰωάννης εἰς τὸ ἴδιον κεφάλαιον τῆς Ἀποκαλύψεως οὕτω λέγων· Καὶ εἶδον τὸ θηρίον καὶ τοὺς βασιλεῖς τῆς γῆς καὶ τὰ στρατεύματα αὐτῶν συνηγμένα ποιῆσαι πόλεμον μετὰ τοῦ καθημένου ἐφ' ἵππου καὶ μετὰ τοῦ στρατεύματος αὐτοῦ.

13) Κείμενον. Καὶ σώσει τὰ πρόβατα αὐτοῦ κηρύττων αὐτοῖς τὸ: α: καὶ τὸ: ω: ἅπερ ἐν τῷ ὀνόματι αὐτοῦ.

Ἐξήγησις. Καὶ θέλει ἐλευθερώσει τὰ λογικὰ πρόβατα τοῦ Χριστοῦ καὶ τὸ ἰδικόν του εὐσεβὲς ὑπήκοον ἀπὸ τὸν φθορέα τῆς ἀσεβείας λύκον Μωάμεθ καὶ οὕτως ὄντως ἀντίχριστον κατὰ τὸν Θεολόγον Ἰωάννην, διδάσκοντας αὐτοὺς τοὺς χριστιανοὺς τὰ τῆς εὐσεβοῦς καὶ ὀρθοδόξου πίστεως μυστήρια, τὸ τῆς ἁγίας τριάδος μυστήριον καὶ τὸ τῆς ἐνανθρωπήσεως τοῦ δεσπότου Χριστοῦ· τὸ γὰρ: α: καὶ τό: ω: τὰ τρία φωνήεντα σημαίνουσι τὸν τῶν ὅλων τρισυπόστατον θεόν, ὡσαύτως δηλοῖ καὶ τὸ ἐγώ εἰμι ὁ ὤν· καὶ γὰρ τὸ ὢν τρία ἔχει στοιχεία: ν: καὶ δύο: ο: ἐξ ὧν σύγκειται καὶ τό: ω: ὅπερ εἰκονίζει τὴν ἐν μιᾷ ὑποστάσει τοῦ σωτῆρος Χριστοῦ ἕνωσιν θεότητος καὶ ἀνθρωπότητος· τὰ ὁποῖα αὐτὰ δύο στοιχεῖα: α: καὶ: ω: τὰ ἔχει ὁ κηρύττων αὐτὰ Ἰωάννης ἐν τῷ ὀνόματι αὐτοῦ.

14) Κείμενον. Καὶ στήσει τὴν βασιλείαν αὐτοῦ ἓν νυχθήμερον καὶ ἓν τέταρτον τῆς ὥρας.

Ἐξήγησις. Καὶ θέλει σταθῇ ἡ βασιλεία του ἑκατὸν χρόνους καὶ δύο ἥμισυ, ἐπειδὴ τὸ τέταρτον τῆς ὥρας εἶναι τέταρτον τῆς δεκάδος, τὸ δὲ τέταρτον τῆς δεκάδος εἶναι δύο ἥμισυ, καὶ ἐν τῇ Ἀποκαλύψει τοῦ ἁγίου Ἰωάννου χίλια ἔτη ὡς ἑκατοντάδες ἀναλόγως ἐκλαμβανόμενα, αἱ δὲ ἑκατοντάδες κατὰ συστολὴν καὶ κολόβωσιν λογιζόμεναι ποιοῦσιν ἑκατὸν χρόνους.

15) Κείμενον. Ὡς ἐκ τῶν στοιχείων τοῦ ὀνόματος αὐτοῦ ἀριδήλως δείκνυται..

Ἐξήγησις. Τὸ ὄνομα τοῦ εἰρημένου βασιλέως εἶναι Ἰωάννης, τὸ ὁποῖον ἔχει ἑπτὰ στοιχεῖα: Ἰ. ω. α. ν. ν. η. ς: ὧν τὰ μὲν δύο: νν: σημαίνουσιν τὸ νυχθήμερον τὸ ὁποῖον ἔχει δύο: νν: ἀρκτικὸν καὶ τελικόν. τὸ δὲ: η: σημαίνει τὴν ἡμέραν, ἡ ὁποία ἔχει τὸ: η: ἀρκτικόν, τὸ δὲ: ω: ὑπαινίττεται τὴν ὥραν ὡσὰν ὁποῦ αὐτὴ ἡ ὥρα ἔχει αὐτὸ: ω: ἀρκτικόν. τὸ δὲ: ς: τὰ δύο νυχθήμερα ἤτοι δύο ἑκατοντάδες. τὸ δὲ: Ι: σημαίνει τὰς δέκα δεκάδας ἤτοι τὴν μίαν ἑκατοντάδα. τὸ δὲ: α: σημαίνει τὴν μονάδα ἐξ ὧν ὁ εἰρημένος συγκείται. ἔτι δὲ τὰ εἰρημένα ἑπτὰ στοιχεῖα τοῦ βασιλικοῦ ὀνόματος Ἰωάννης ἐπισημαίνουσι καὶ ταῦτα· τὸ μὲν: ι: καὶ τό: σ: σημαίνει τὴν σωτηρίαν τῶν λογικῶν προβάτων τοῦ ἀρχιποιμένος Χριστοῦ· τὸ δὲ: α: καὶ τό: ω: τὸ τρισυπόστατον τῆς μιᾶς θεότητος, ὅπερ μέλλει νὰ κηρύξῃ αὐτὸς ὁ βασιλεύς· τὰ δὲ δύο: νν: ἀποδηλοῦσι τοὺς ἑκατὸν χρόνους, καθ' οὓς μέλλει νὰ σταθῇ ἡ τοιαύτη εὐσεβὴς βασιλεία μέχρι τοῦ ὀγδόου αἰῶνος ἤτοι τῆς συντελείας τοῦ κόσμου. ταῦτα οὖν ἐκ τῶν στοιχείων τοῦ βασιλικοῦ ὀνόματος δείκνυται.

υπο Γαβριηλ ιερομοναχου Σιναΐτου.
,αωε'. δεκ. ις'.

Переписано въ Синайскомъ монастырѣ 23-го іюня 1850 года.

II.

Изъ Sinait. 508 (**976**) лл. 113^a—125^b Варіанты взяты изъ Hierosol. Metoch. 145 лл. 564^a—565^b (опис. *А. И. Пападопуло-Керамевсомъ*, Ἱεροσολ. Βιβλιοθήκη, IV 126—134), гдѣ текстъ не полонъ и не имѣетъ заглавія.

Βασιλικὸν γράμμα γράφον τὰ ἱεροκύκλια τῆς ἁγιωτάτης μεγάλης ἐκκλησίας τῆς α' Ἰουστιανῆς καὶ πάσης Βουλγαρίας Σερβίας καὶ λοιπῶν:—

Ἡ περὶ τοὺς ἀγαθοὺς τῶν βασιλέων μετὰ τέλος εὐλάβεια μέγα μὲν τὸ θεοφιλὲς ὑπεμφαίνει, πολὺ δὲ [καὶ] μετὰ τοῦ εὐλόγου φέρει τὸ δίκαιον· ὁμοῦ τε γὰρ εὐγνωμοσύνης ἀποφέρεται δόξαν καὶ δεῖγμα πάντως οὐχὶ μικρὸν τοῦ πρὸς θεὸν σεβάσματος γίνεται, εἴ γε δὴ καὶ ἐπ' αὐτὸν τὰ τῆς τιμῆς διαβαίνει, τὸν αὐτοὺς βασιλεύσαντα· ὅτι δὲ [1]) τῶν ἄλλων τινὶ καὶ βασιλεῖ χρεὼν πρὸ τῶν ἄλλων τοῖς γε δὴ τῷ χρόνῳ πλεῖστον προειληφόσι τὸ πρεσβεῖον ἀπονέμειν κατάλληλον, ὡς ἂν εἰ τῶν ὁμολογουμένων περιετύγχανεν[2]) ὄν, οὐδὲ μιᾶς προσδεῖται τῆς ἀποδείξεως· ἀλλ' ἵνα γοῦν ἐντεῦθεν τὸν σκοπὸν τοῦ λόγου παραγυμνώσωμεν, φθάνει ποτὲ καὶ ὁ ἐν βασιλεῦσιν ἀοίδιμος Ἰ ο υ σ τ ι ν ι α ν ὸ ς ἐκεῖνος, ὁ μὴ μόνον τὸν ἅπαντα τῆς ἀρχῆς χρόνον μέγα τὸ ἐπὶ τοῖς ἔργοις διασώσας ἐπίδοξον, ἀλλὰ καὶ τῇ μνήμῃ καταλελοιπὼς περιφανῶς διαρκοῦσαν τὴν εἰς αὐτόν γε ἥκουσαν εὔκλειαν, σπουδήν τινα προμηθείας οὐχ ὅπως καὶ λεχθῆναι ῥᾳδίας[3]) περὶ τὴν ἁγιωτάτην ἀρχιεπισκοπὴν Βουλγαρίας ἐπιδειξάμενος, ἣν δὴ καὶ Πρώτην Ἰουστινιανὴν (л. 113^b) ἐκ τῆς οἰκείας κλήσεως [κατ]ωνόμασεν. ἅτε δὴ οὖν πατρίδα ταύτην λαχὼν—ταύτην γὰρ λόγος ἔχει τῆς σωματικῆς αὐτῷ κατάρξαι γενέσεως—πάντα διετέλει ποιῶν καὶ διὰ σπουδῆς με-

---

[1]) δεῖ codd.; τῶν вставлено [2]) παρετύγχανεν [3]) ῥαδίως

γίστης ἐτίθετο, πῶς ἂν ἀξίως ἑαυτοῦ τὰ τροφεῖα ταύτῃ μεγαλοτελῶς ἀποτίσῃ κἀπὶ πλεῖστον προαγάγῃ καὶ τιμῆς καὶ λαμπρότητος. ὅθεν καὶ μακρὸν ἂν εἴη καταριθμεῖν, ὁπόσον αὐτῇ παρὰ τὰς ἄλλας τὸ πρεσβεῖον ἀπέδοτο, καὶ ὅσοις αὐτὴν ἐσέμνυνε προτερήμασι, καὶ ὅσας αὖ τῶν ἐπ' ἀρχιερατείᾳ τετιμημένων ἐκκλησιῶν περὶ ταύτην ἀφώρισε, πλὴν ὅτι πολλάττα καὶ μεγάλα ταύτην ἀποσεμνύνας καὶ ἅπερ ἂν βασιλέως ἔχοι δοῦναι γνώμη φιλότιμος, ἐφ' οἷς ὁμονοοῦντα καὶ τὸν ἁγιώτατον ἐκεῖνον ἔσχε τῆς πρεσβυτέρας Ῥώμης πάπαν Βιγίλιον, ἐπὶ μᾶλλον αὐτῇ τῆς εἰς τὸ μέλλον ἐ[πε]φρόντισε δόξης, καὶ ὅπως ἂν παραμένειν τὰ τῆς ὑπεροχῆς παντὶ τῷ χρόνῳ διαδιδόμενα, ἔνθεν τοι καὶ χρυσοβούλλοις ταῦτα λόγοις καὶ βασιλικοῖς [1]) ἐκράτυνε διατάγμασιν. ἔμενε γοῦν ἐπιπολὺ τῆς οἰκείας δόξης ἐμφορουμένη καὶ τῶν ἀπονενεμημένων (л. 114^{a}) ὡς εἰκὸς πρωτείων ἐπαπολαύουσα, ναὶ μὴν καὶ τὰς ἀποδοθείσας ἱερὰς ἁπάσας ἐκκλησίας, οἷόν τινα κλῆρον εὐτυχοῦσα παντελῶς ἀμετάτρεπτον. ἐπεὶ δ' ὁ τὰ πάντα συγχέων χρόνος ἄλλοτε ἄλλας ἐπεισάγων περιπτώσεις κινήσεων οὐκ ἔμελλε μὴ καὶ τὰ κατ' αὐτὴν ἑτέρως διαθεῖναι καὶ τῶν ἐπ' αὐτῇ μεγάλων ἀγαθῶν ἐργάσασθαι σύγχυσιν, αὐτίκα καὶ πραγμάτων πρὸς τὸ χεῖρον μεταβολή, καὶ τῆς πολλῆς ἐκείνης εὐκληρίας μετάβασις, καὶ ὅσα δὴ συμβαίνειν ἐπὶ τούτοις εἰκὸς ἐκ τῆς ἐπιβούλου τῶν ἐχθρῶν ἐπιθέσεως. ὡς οὖν ἔδει καὶ αὐτὴν τῆς καιρικῆς μετασχεῖν ἐκείνης φορᾶς, τὸ γοῦν πλέον τῆς μεταβολῆς ἐπὶ ταῖς ἀποκεκληρωμέναις ἐκκλησίαις συστῆναι ταύτῃ συμβέβηκεν. ἔνθεν καὶ ταῖς μὲν ὑπ' ἐχθροῖς ἐπεισπεσοῦσι γεγονέναι [2]) συμπέπτωκε καὶ αὐτίκα παρ' ἐκείνων οἱονεὶ τυράννων ἐδουλαγωγοῦντο τῇ βίᾳ· αἱ δ' εἰς τοσοῦτον τοῦ καιροῦ τῆς δυσχερείας ἀπέλαυσαν, ὡς καὶ εἰς ἔσχατον ἀφανισμοῦ συνελαθῆναι καὶ μὴ δ' ἄν τινα ῥᾳδίως ἔχειν καλεῖν αὐτὰς ἐξ ὀνόματος. εἰσὶ δ' ἃς καὶ τῶν παρ' ἡμῖν ἱερῶν πολλαὶ μητροπόλεων τὸν καιρὸν ἕρμαιον (л. 114^{b}) λογισάμεναι καὶ ἄλλην ἄλλη διαλαβοῦσαι, τρόπον τοῦτον εἰσεποιοῦντο τὰς ἀλλοτρίας καὶ πρὸς ἑαυτὰς αὐτίκα μεθεῖλκον μετὰ τοῦ καιροῦ καὶ αὗται γινόμεναι καὶ τόσῳ μᾶλλον, ὅσῳ καὶ ὁ χρόνος προϊὼν ἀσφαλὲς ἐδόκει ταύταις ἐνέγυ-

[1]) καὶ βασιλικοῖς пропущ. [2]) γεγόναι cod.

ρον· ταῖς δὲ καὶ τὸ αὐτόνομον ἠγαπήθη καὶ διὰ ταῦτα τῆς κοινῆς αὐτῶν μητρὸς διεσπάσθησαν· ἀλλ' οὐκ ἦν ἐπιπολὺ τὸ ἐναντίον προβαίνειν οὐδ' ἐπὶ τοσοῦτον κατ' αὐτῆς τὸν χρόνον νεανιεύεσθαι. τοίνυν καὶ ὡς αὖθις βασιλέως ἐδεῖτο εἴπερ ἔμελλέ τι πράξειν τῆς περὶ αὐτὴν ἀρχαιολογίας ἐπάξιον, οἷον ἐπ' ἀγαθῷ τῷ ταύτης ὁ τῆς εὐτυχοῦς καὶ ἀοιδίμου μνήμης βασιλεὺς ὁ πορφυρογεννήτης ἐκεῖνος ἀνεφάνη Βασίλειος, ὅς καὶ διὰ τὸ πλείστην συντριβὴν τῷ γένει τῶν Μυσῶν ἐμποιῆσαι τὴν τοῦ βουλγαροκτόνου κλῆσιν ἠνέγκατο. οὗτος οὖν τήν γε τῶν πραγμάτων δυσκολίαν ἐκ μέσου ποιήσας καὶ τὰ δυσχερῆ μεταγαγὼν πρὸς τὸ βέλτιον, καὶ τῇ ἁγιωτάτῃ ταύτῃ ἀρχιεπισκοπῇ τά τε ἄλλα πλεῖστον πρὸς τὸ ὑπερέχον τῆς τιμῆς συνεβάλετο[1]), καὶ δὴ (л. 115^{a}) καὶ τῶν κατ' αὐτὴν ἱερῶν ἐκκλησιῶν ὡς οἷόν τ' ἦν τὰς πλείστας ἐπανεσώσατο, ἅμα καὶ ἐφ' οἷς ἡ γνώμη πλεονέκτης ἐπ' αὐταῖς διεδείχθη, μηδεμίαν δοὺς τῷ χρόνῳ παρρησίαν κατ' αὐτῆς ἐνεγκεῖν δίκαιος οὗτος δικαστὴς ὡς ἐγῷμαι τοῖς τῶν καλῶν ἐπιγνώμοσιν· ὅθεν καὶ βασιλικὰ θεσπίσματα διεξέθετο[2]), ἃ δὴ καὶ τοιαύτην ἔχει κατὰ ῥῆμα τὴν ἔκθεσιν:

Πολλῶν ὄντων καὶ μεγάλων τῶν παρὰ τοῦ φιλανθρώπου θεοῦ δεδωρημένων τῇ βασιλείᾳ ἡμῶν ἀγαθῶν κατὰ διαφόρους καιροὺς καὶ ἀριθμοὺς[3]) ὑπερβαινόντων, τοῦτό ἐστι παρὰ πάντα ἐξαίρετον τὸ προσθήκην γενέσθαι τῇ Ῥωμαίων ἀρχῇ καὶ τὴν τῶν Βουλγάρων γενέσθαι ὑπὸ ζυγὸν ἕνα. ἐντεῦθεν οὖν καὶ τὸν εὐλαβέστατον μοναχὸν Ἰωάννην ἀρχιεπίσκοπον Βουλγαρίας ἐκυρώσαμεν εἶναι καὶ τὰ τῇ ἀρχιεπισκοπῇ προσήκοντα παρ' αὐτοῦ ἰθύνεσθαι. καὶ ἐπεὶ ᾐτήσατο ὁ τοιοῦτος ἐγγράφως ἔχειν τοὺς ὀφείλοντας ταῖς ἐκκλησίαις τῆς ἐνορίας αὐτοῦ καὶ τῶν ἐπισκόπων αὐτοῦ κληρικοὺς καὶ παροίκους ὑπηρετεῖν, δεδώκαμεν (л. 115^{b}) αὐτῷ τὸ παρὸν σιγίλλιον τῆς βασιλείας ἡμῶν, δι' οὗ παρακελευόμεθα

αὐτὸν μὲν τὸν ἀρχιεπίσκοπον ἔχειν εἰς τὰ κάστρα τῆς ἐνορίας αὐτοῦ, ἤγουν τὴν Ἀχρίδα, τὴν Πρέσπαν, τὸν Μόκρον καὶ τὴν Κίτζαβιν, κληρικοὺς τεσσαράκοντα καὶ παροίκους τριάκοντα.

τὸν δὲ ἐπίσκοπον Καστορίας εἰς τὰ κάστρα τῆς ἐνορίας αὐ-

---

1) συνεβάλλετο 2) διετάξατο 3) ἀριθμὸν

τοῦ ἤγουν εἰς [αὐτὴν] τὴν Καστορίαν, εἰς τὸν Κούρεων [1]), τὴν Κολώνην, τὴν Δεάβολιν, τὴν Βοῶσαν καὶ τὸν Μῶρον, κληρικοὺς τεσσαράκοντα καὶ παροίκους τριάκοντα· εἰ τάχα καὶ περισσότερον [2]) εἶχε πρώην, ἀλλ' οὖν οὐ βουλόμεθα ὑπερβαίνειν τὸν ἀριθμὸν τῶν κληρικῶν καὶ παροίκων τοῦ ἀρχιεπισκόπου.

τὸν δὲ ἐπίσκοπον Γλαβενίτζης [3]) εἰς αὐτὴν τὴν Γλαβένιτζαν [4]) καὶ εἰς τὰ Κάνινα καὶ εἰς Νεάνισκαν κελεύομεν ἔχειν κληρικοὺς τεσσαράκοντα καὶ παροίκους τεσσαράκοντα.

τὸν δὲ ἐπίσκοπον Μογλαίνων εἰς αὐτὰ τὰ Μόγλαινα καὶ τὸν Πρόσακον καὶ τὴν Μορίχοβαν καὶ τὴν Σετίνην καὶ τὸν Ὀστροβὸν καὶ εἰς τὰ Ζαόδρυα, κληρικοὺς δεκαπέντε καὶ παροίκους δεκαπέντε.

(л. 116ᵃ) καὶ τὸν ἐπίσκοπον Βουτέλεως εἰς τὴν Πελαγονίαν καὶ εἰς τὸν Πρίλαπον καὶ εἰς τὴν Δευρέτην [5]) καὶ εἰς τὸν Βελεσσόν, κληρικοὺς δεκαπέντε καὶ παροίκους δεκαπέντε.

καὶ τὸν ἐπίσκοπον Στρουμμίτζης εἰς αὐτὴν τὴν Στρούμμιτζαν καὶ τὸν Ῥαδόβιστον καὶ τὸν Κονέτζην, κληρικοὺς δώδεκα καὶ παροίκους δώδεκα.

καὶ τὸν ἐπίσκοπον Μοροβίσδου εἰς αὐτὸν τὸν Μορόβισδον καὶ τὸν Κοζίακον καὶ τὴν Σλαβίστην καὶ τὴν Σθλετοβὰν καὶ τὸν Λουκόβιτζον καὶ τὴν Πιάνιτζαν καὶ τὴν Μαλέσοβαν, κληρικοὺς δεκαπέντε καὶ παροίκους δεκαπέντε.

καὶ τὸν ἐπίσκοπον Βελεβουσδίου [6]) εἰς αὐτὴν τὴν Βελέβουσδαν [7]) καὶ τὸν Σουντιάσκον [8]) καὶ τὴν Γερμάνειαν καὶ τὸν Τερίμερον καὶ τὸν Στοβὸν καὶ τὸν Κάτω Σουνδέασκον καὶ τὰ Ῥάσλογα, κληρικοὺς δεκαπέντε καὶ παροίκους δεκαπέντε.

καὶ τὸν ἐπίσκοπον [9]) Τριαδίτζης εἰς αὐτὴν τὴν Τριάδιτζαν [10]) καὶ τὸν Πέρνικον [11]) καὶ τὴν Σύκοβον καὶ τὴν Σβενέαπος κελεύομεν ἔχειν κληρικοὺς τεσσαράκοντα καὶ παροίκους τεσσαράκοντα.

καὶ τὸν ἐπίσκοπον Νίσου εἰς αὐτὴν τὴν Νίσον καὶ εἰς τὸν

---

[1]) κούρεστον [2]) περισσοτέρους [3]) γλαβινίτζης [4]) γλαβινίτζαν [5]) δευρετὴν [6]) сверху надписано μπάνεα [7]) cod. in m. добавл. βελμπου[ ]μπάνεα [8]) σουντιασκὸν [9]) ἐπίσκον [10]) сверху добавл. σοφίας . [11]) здѣсь обрывается Hieros. Metoch. 145.

Μόκρον καὶ τὸν Κόμπλον καὶ Τόπλιτζαν καὶ τὸν Σφελίγοβον (л. 116^{b}), κληρικοὺς τεσσαράκοντα καὶ παροίκους τεσσαράκοντα.

καὶ τὸν ἐπίσκοπον Βρανίτζης εἰς τὴν Βράνιτζαν καὶ τὸν Μορόβισκον καὶ τὸν Σφενδέρομον καὶ τὸν Γρόταν καὶ τὸν Βίσισκον καὶ τὴν Ἰστραάλαγγαν καὶ τὸν Βροδάρισκον, κληρικοὺς δεκαπέντε καὶ παροίκους δεκαπέντε.

καὶ τὸν ἐπίσκοπον Βελαγράδων εἰς αὐτὰ τὰ Βελάγραδα καὶ τὸν Γραδέτζην καὶ τὸν Ὀμτζὸν καὶ τὸν Γλαβεντῖνον καὶ τὴν Ἄσπρην Ἐκκλησίαν, κληρικοὺς τεσσαράκοντα καὶ παροίκους τέσσαράκοντα.

καὶ τὸν ἐπίσκοπον τῆς Θράμου κελεύομεν ἔχειν εἰς πᾶσαν τὴν ἐνορίαν αὐτοῦ κληρικοὺς δεκαπέντε καὶ παροίκους δεκαπέντε.

καὶ τὸν ἐπίσκοπον τῶν Σκοπίων εἰς αὐτὰ τὰ Σκόπια καὶ τὸν Βινέτζην καὶ τὸν Πρεάμορον καὶ τὴν Λύκοβαν καὶ τὸν Πρινίπον, κληρικοὺς τεσσαράκοντα καὶ παροίκους τεσσαράκοντα.

καὶ τὸν ἐπίσκοπον Πρισδριάνων εἰς αὐτὰ τὰ Πρίσδριανα καὶ τὸν Χοσνὸν καὶ τὸν Λεασκουμτζὸν καὶ τὴν (для слова оставлено мѣсто, a in m. τὴν βράτ[ ] ὡς ἐμοὶ δοκεῖ.), κληρικοὺς δεκαπέντε καὶ παροίκους δεκαπέντε.

καὶ τὸν ἐπίσκοπον Λιπαινίου εἰς πᾶσαν τὴν ἐνορίαν αὐτοῦ κληρικοὺς δεκαπέντε καὶ παροίκους δεκαπέντε.

καὶ τὸν ἐπίσκοπον Σερβίων (л. 117^{a}) κελεύομεν ἔχειν εἰς πᾶσαν τὴν ἐνορίαν αὐτοῦ κληρικοὺς τριάκοντα καὶ παροίκους τριάκοντα.

ἵνα ἐξκουσσεύωνται οἱ τοιοῦτοι πάντες κληρικοὶ ἀπό τε οἰκομοδίου καὶ τῶν λοιπῶν ἐπηρειῶν, ὡς ἐξκουσεύοντο καὶ ἐπὶ τοῦ Σαμουήλ. ὅθεν καὶ πρὸς εἴδησιν τῶν μεθ' ἡμᾶς βασιλέων ποιήσαντες τὸ παρὸν σιγίλλιον δεδώκαμεν τῷ ἀρχιεπισκόπῳ, βουλλώσαντες τῷ βουλλωτηρίῳ τῆς βασιλείας ἡμῶν διὰ μολίβδου:

Ἓν μὲν δὴ τοῦτο τοιοῦτον: ἕτερον δέ.

Ἐπεὶ ὁ ἁγιώτατος ἀρχιεπίσκοπος Βουλγαρίας ᾐτήσατο τὴν βασιλείαν ἡμῶν μετὰ τὸ ἐκθέσθαι ταύτην σιγίλλιον, διαλαμβάνον περὶ πάσης ἐπισκοπῆς Βουλγαρικῆς ὁπόσην τὴν ἐνορίαν ἔχει, ποιῆσαι καὶ ἕτερον σιγίλλιον περὶ τῶν λοιπῶν ἐπισκοπείων τῶν μὴ συναριθμηθέντων ἐν τῷ προτέρῳ σιγιλλίῳ τῶν κατ' αὐτὸν λοι-

πῶν ἐπισκοπῶν διὰ τὸ τοὺς γειτνιάζοντας μητροπολίτας καθαρπάσαι ταύτας ἐκ τῆς Βουλγαρικῆς ἐνορίας καὶ πρὸς αὐτοὺς οἰκειῶσαι, καὶ ἡ βασιλεία μου οὐκ εὐδοκεῖ ὁδοβατεῖν τινα ἐξ αὐτῶν ἢ ἐκ τῶν ἀνθρώπων ἕως ἑνὸς βήματος ἔσω τῶν ὅρων τῆς Βουλγαρικῆς ἐνορίας, ἀλλὰ πάσας (л. 117^{b}) τὰς Βουλγαρικὰς ἐπισκοπάς, αἳ ὑπὸ Πέτρου τοῦ βασιλέως καὶ τοῦ Σαμουὴλ ἐδεσπόζοντο καὶ κατείχοντο καὶ παρὰ τῶν τότε ἀρχιεπισκόπων, καὶ τὰ λοιπὰ ἅπαντα κάστρα τὰ αὐτὰ θεσπίζομεν ἔχειν καὶ διακρατεῖν καὶ τὸν νυνὶ ἁγιώτατον ἀρχιεπίσκοπον· οὐ γὰρ ἀναιμωτὶ καὶ πόνων χωρὶς καὶ ἱδρώτων, ἀλλὰ διὰ καρτερίας πολυετοῦς καὶ συμμαχίας θεϊκῆς ὑπόσπονδον τὴν χώραν ταύτην ὁ θεὸς ἡμῖν ἐδωρήσατο, τῆς ἀγαθότητος αὐτοῦ εὖ μάλα τρανῶς ἡμῖν ἀρωγούσης καὶ τὰ διεστῶτα εἰς ἓν συναπτούσης, ὑπὸ ζυγὸν ἕνα θεμένης τοὺς ὅρους καὶ τοὺς τύπους τοὺς καλῶς παρὰ τῶν πρὸ ἡμῶν βασιλευσάντων θεσπισθέντας μηδὲν λυμηναμένης· εἰ γὰρ τῆς χώρας ἐγκρατεῖς ἐγενόμεθα, ἀλλὰ τὰ ταύτης δίκαια ἀπαράσπαστα διετηρήσαμεν ἐπικυροῦντες αὐτὰ διὰ χρυσοβούλλων καὶ σιγιλλίων ἡμῶν. καὶ τὸν νῦν ἁγιώτατον ἀρχιεπίσκοπον Βουλγαρίας τοσαύτην τὴν ἐνορίαν ἔχειν θεσπίζομεν, οἵαν καὶ πόσην εἶχε καὶ ἐπὶ Πέτρου τοῦ βασιλέως, καὶ δεσπόζειν καὶ διακατέχειν πάσας τὰς ἐπισκοπὰς Βουλγαρίας, οὐχ ὅσαι δηλαδὴ τῷ προτέρῳ σιγιλλίῳ ἔτυχον τεθεῖσαι, ἀλλὰ καὶ (л. 118^{a}) ὅσαι διαλαθοῦσαι οὐ ταύταις συνετάγησαν, καὶ αἱ διὰ τῶν παρόντων σιγιλλίων ἐμφανισθεῖσαι καὶ ἐξ ὀνόματος τεθεῖσαι· καὶ ταύταις ὡς καὶ ταῖς λοιπαῖς κληρικοὺς καὶ παροίκους δωρούμεθα·

ἤγουν κελεύομεν ἔχειν τὸν Δρίστρας ἐπίσκοπον εἰς τὰ κάστρα τῆς ἐνορίας αὐτοῦ καὶ τὰ λοιπὰ κάστρα τὰ περὶ αὐτὴν κληρικοὺς τεσσαράκοντα καὶ παροίκους τεσσαράκοντα· ἐπὶ Πέτρου γὰρ τοῦ βασιλεύσαντος ἐν Βουλγαρίᾳ αὕτη μὲν τῷ τῆς ἀρχιεπισκοπῆς ἀξιώματι ἐλαμπρύνετο, μετὰ δὲ τοῦτο ἀπὸ τόπου εἰς τόπον μεταβαινόντων τῶν ἀρχιεπισκόπων τοῦ μὲν εἰς Τριάδιτζαν τοῦ δὲ ἐν τοῖς Βοδηνοῖς καὶ ἐν τοῖς Μογλαίνοις, εἶθ' οὕτως ἐν τῇ Ἀχρίδᾳ τὸν νῦν εὕρομεν ἀρχιεπίσκοπον, καὶ αὐτὴν μὲν τὴν Ἀχρίδα ἀρχιεπίσκοπον ἔχειν, ἐπίσκοπον δὲ εἰς τὴν Δρίστραν χειροτονῆσαι.

*

τὸν δ' ἐπίσκοπον Βοδίνης κελεύομεν ἔχειν εἰς τὰ κάστρα τῆς ἐνορίας αὐτοῦ κληρικοὺς τεσσαράκοντα καὶ παροίκους τεσσαράκοντα· ὅτι γὰρ καὶ προσφορωτάτη αὕτη μοι γέγονε καὶ προοδευτικωτάτη καὶ πρὸς τὴν τῆς χώρας εὐθεῖαν ὁδὸν τὰς εἰσόδους ἀνέῳξεν, ἔδει πάντως αὐτὴν καὶ μεγίστων ἐπιτεύξασθαι ἀμοιβῶν (л. 118[b]) καὶ τῶν κρειττόνων πάντως ὑπεραρθῆναι. ἀλλὰ διὰ τὸ μὴ ὑπεραίρειν αὐτὴν καὶ ὑπερκεῖσθαι τοῦ ἀρχιεπισκόπου, κληρικῶν καὶ παροίκων τὴν ἰσομοιρίαν τοῦ ἀρχιεπισκόπου ταύτῃ δεδώκαμεν ἐπαυξήσαντες δέκα ὑπὲρ τοὺς ἑβδομήκοντα τοῦ ἀρχιεπισκόπου.

(in. m. τὸν δὲ ἐπίσκοπον Ῥάσου) εἰς πᾶσαν τὴν ἐνορίαν αὐτοῦ κελεύομεν ἔχειν κληρικοὺς δεκαπέντε καὶ παροίκους δεκαπέντε.

τὸν δὲ ἐπίσκοπον Ὡραίας κελεύομεν ἔχειν εἰς πᾶσαν τὴν ἐνορίαν αὐτοῦ κληρικοὺς δώδεκα καὶ παροίκους δώδεκα.

καὶ τὸν ἐπίσκοπον Τζερνίκου κελεύομεν ἔχειν εἰς πᾶσαν τὴν ἐνορίαν αὐτοῦ κληρικοὺς δεκαπέντε καὶ παροίκους δεκαπέντε.

τὸν δὲ ἐπίσκοπον Χιμαίρας κελεύομεν ἔχειν εἰς πᾶσαν τὴν ἐνορίαν αὐτοῦ κληρικοὺς δώδεκα καὶ παροίκους δώδεκα.

τὸν γὰρ μητροπολίτην Δυρραχίου μόνον τῷ θρόνῳ αὐτοῦ ἐμμένειν κελεύομεν καὶ ἀρκεῖσθαι τοῖς περὶ αὐτὸν κτήμασι καὶ χρήμασι καὶ μὴ ἐπιβαίνειν ταῖς τοῦ Βουλγαρίας ἐπισκοπαῖς· τῷ γὰρ ἀρχιεπισκόπῳ Βουλγαρίας ταύτας ἐκυρώσαμεν, ὡς καὶ ἀπὸ παλαιοῦ (л. 119[a]) τὸ κῦρος ἦν αὐτῷ καὶ ἡ ἐξουσία παρὰ τῶν ἀρχαίων τετύπωται. οὐ γὰρ παραχαράττομέν τι ἐκ τῶν προτυπωθέντων τῇ ἀρχιεπισκοπῇ Βουλγαρίας, ἀλλ' εἰ καὶ ἠμαυρώθησαν, ἀνιστοροῦμεν καὶ ἀνατυποῦμεν διὰ τοῦ παρόντος σιγιλλίου ἡμῶν ἀπαράθραυστά τε διατηρεῖσθαι καὶ ἀκαινοτόμητα πάντα τὰ ἐξ ἀρχαίων ἀνήκοντα τῇ ἀρχιεπισκοπῇ καὶ μήτε τὸν αὐτὸν μητροπολίτην καὶ τοὺς λοιποὺς ἐν ταῖς τῆς Βουλγαρίας ἐπισκοπαῖς ζυγομαχεῖν, ἀρκεῖσθαί τε τοῖς ἰδίοις καὶ ἐξ ἀρχαίων ὅρων βεβαιωθεῖσιν, ἀΐδιον μένειν τῇ ἰδίᾳ δεσποτείᾳ καὶ ἀκαινοτόμητον.

τὸν δὲ ἐπίσκοπον Ἀδριανουπόλεως κελεύομεν ἔχειν εἰς πᾶσαν τὴν ἐνορίαν αὐτοῦ κληρικοὺς δεκαπέντε.

καὶ τὸν ἐπίσκοπον (для имени оставлено мѣсто) κελεύομεν

ἔχειν εἰς πᾶσαν τὴν ἐνορίαν αὐτοῦ κληρικοὺς δεκαπέντε καὶ παροίκους δεκαπέντε.

καὶ τὸν ἐπίσκοπον Βοθρωτοῦ κελεύομεν ἔχειν εἰς πᾶσαν τὴν ἐνορίαν αὐτοῦ κληρικοὺς δώδεκα καὶ παροίκους δώδεκα.

τὸν δὲ ἐπίσκοπον Ἰωαννίνων κελεύομεν ἔχειν (л. 119[b]) εἰς πᾶσαν τὴν ἐνορίαν αὐτοῦ κληρικοὺς δεκαπέντε καὶ παροίκους δεκαπέντε.

καὶ τὸν ἐπίσκοπον αὐτὸν Κοζίλης κελεύομεν ἔχειν εἰς πᾶσαν τὴν ἐνορίαν αὐτοῦ κληρικοὺς δεκαπέντε καὶ παροίκους δεκαπέντε.

τὸν δὲ ἐπίσκοπον Πέτρου κελεύομεν ἔχειν εἰς πᾶσαν τὴν ἐνορίαν αὐτοῦ κληρικοὺς δώδεκα καὶ παροίκους δώδεκα.

τὸν δὲ ἐπίσκοπον τῶν Ῥιγῶν εἰς πᾶσαν τὴν ἐνορίαν αὐτοῦ κληρικοὺς τεσσαράκοντα καὶ παροίκους τεσσαράκοντα.

οὐ μόνον δὲ τὰς ἐξ ὀνόματος τεθείσας ἐπισκοπὰς ἔχειν θεσπίζομεν τὸν ἁγιώτατον ἀρχιεπίσκοπον Βουλγαρίας, ἀλλ' εἰ καὶ λοιπαὶ ὑπελείφθησαν διὰ λήθην μὴ ἐμφανισθεῖσαι καὶ τῶν βουλγαρικῶν ὅρων ἐντός εἰσι, καὶ ταύτας διακατέχειν καὶ δεσπόζειν παρακελευόμεθα· καὶ ὅσα ἕτερα ὑπελείφθησαν κάστρα ἐκτὸς τῶν σιγιλλίων τῆς βασιλείας μου, ταῦτα πάντα κατέχειν τὸν αὐτὸν ἁγιώτατον ἀρχιεπίσκοπον καὶ λαμβάνειν τὸ κανονικὸν αὐτῶν πάντων καὶ τῶν ἀνὰ πᾶσαν τὴν Βουλγαρίαν Βλάχων καὶ τῶν (л. 120[a]) περὶ τὸν Βαρδάρειον Τούρκων, ὅσοι ἐντὸς τῶν βουλγαρικῶν ὅρων εἰσίν· τιμᾶν δὲ αὐτὸν καὶ σέβεσθαι μεγάλως καὶ ἀκούειν τοῦ λόγου αὐτοῦ καὶ τῆς παραινέσεως καὶ πάντας τοὺς ἐν τῇ Βουλγαρίᾳ στρατηγοὺς καὶ λοιποὺς ἀπαιτητὰς καὶ ἄρχοντας, καὶ μὴ περικόπτειν αὐτοὺς μήτε εἰς μοναστήριον βουλγαρικὸν μήτε εἰς ἐκκλησίαν ἢ ἐν οἱῳδήποτε ἐκκλησιαστικῷ ὅλως πράγματι, μήτε κωλύειν αὐτὸν μήτε τοὺς ὑπ' αὐτὸν θεοφιλεστάτους ἐπισκόπους ἢ ἐμποδίζειν τούτοις, ἵνα μὴ μεγάλην καὶ ἀσυμπαθῆ ὁ τοιοῦτος ἀπὸ τῆς βασιλείας ἡμῶν τὴν ἀγανάκτησιν ἐπισπάσηται. ὅθεν καὶ πρὸς εἴδησιν τῶν μεθ' ἡμᾶς βασιλέων ποιήσαντες τὸ παρὸν σιγίλλιον, δεδώκαμεν τῷ ἁγιωτάτῳ ἀρχιεπισκόπῳ, βουλλώσαντες τῷ βουλλωτηρίῳ τῆς βασιλείας ἡμῶν διὰ μολίβδου. μηνὶ μαΐῳ ἰνδικτιῶνος γ'. ἔτους ἑξακισχιλιοστοῦ πεντακοσιοστοῦ εἰκοστοῦ ὀγδόου:—

Καὶ ταῦτα μὲν δηλοῖ τὸ πρωτότυπον. ἐπεὶ δὲ ὁ νυνὶ τιμιώτατος ἀρχιεπίσκοπος Βουλγαρίας ἀνήγγειλε τῇ βασιλείᾳ μου, ὅτι διὰ τὸ τὰ πρωτότυπα αὐτὰ (л. 120[b]) χρυσόβουλλα καὶ τυπικὰ ἐπιφέρεσθαι τοὺς πρὸ αὐτοῦ ἀρχιεπισκόπους μεθ' ἑαυτῶν ἐν τῇ ἀρχιεπισκοπῇ πάντων ὁμοῦ συνέβη τούτων γενέσθαι ἀπώλειαν, μόγις δέ που τινα τούτων εὑρέθησαν μετὰ πολλοὺς κόπους καὶ ἐξόδους καὶ ᾐτήσατο αὐτὴν ἶσα τούτων γενέσθαι, ἵνα τῶν πρωτοτύπων ἐν τῷ μετοχίῳ τῆς κατ' αὐτὸν ἐκκλησίας ἀποκειμένων αὐτὸς τὰ ἶσα τούτων μεθ' ἑαυτοῦ ἐπιφέρηται καὶ προβάλληται εἰς δικαίωσιν τῶν τυπωθέντων καὶ ἀφιερωθέντων τῇ κατ' αὐτὸν ἐκκλησίᾳ, ἡ βασιλεία μου τὴν τούτου αἴτησιν ὡς εὔλογον οὖσαν προσδεξαμένη, τὸ παρὸν ἶσον γενέσθαι προσέταξεν, ὅπερ ἀπαραλλάκτως ἀπὸ τοῦ πρωτοτύπου μεταγραφὲν καὶ διὰ κινναβάρεως κανικλωθέν, τῷ βουλλωτηρίῳ αὐτῆς ὑπεσφραγίσθη:

Ἔτι δὲ καὶ ἕτερον·

Τῇ ἁγιωτάτῃ ἀρχιεπισκοπῇ Βουλγαρίας τὸ παρὸν σιγίλλιον ἐδόθη τῆς βασιλείας ἡμῶν, ὡσὰν ἀκωλύτως κατέχει τὰς ἐπισκοπὰς ταύτας τῶν τε Σερβίων καὶ Σταγῶν καὶ Βερροίας· τοῖς βουλγαρικοῖς γὰρ ὅροις (л. 121[a]) καὶ ταύτας διακειμένας διὰ τοῦ παρόντος ἡμῶν σιγιλλίου ταῖς λοιπαῖς συνετάξαμεν ἐπισκοπαῖς καὶ τῇ ἀρχιεπισκοπῇ Βουλγαρίας ἐκυρώσαμεν. καὶ ταύταις δὲ κληρικοὺς καὶ παροίκους δωρήσασθαι διενοησάμεθα, τῷ μὲν Σταγῶν παροίκους δώδεκα καὶ κληρικοὺς δώδεκα, τῷ δὲ Βερροίας κληρικοὺς τριάκοντα καὶ παροίκους τριάκοντα· τῇ γὰρ ἐπισκοπῇ Σερβίων τῷ πρωτοσιγίλλῳ ἐδόθη αὐτοῖς καὶ μὴ κωλύηται.

Ἐντεῦθεν δῆλον, ὅσαι τε καὶ οἷαι τῶν ἐπισκοπῶν τῇ ἀρχιεπισκοπῇ προσῆσαν ὑποταττόμεναι· ἐπὶ γὰρ τούτῳ σκοπῷ καὶ ἡ ἡμετέρα βασιλεία εὐδόκησε διεκτεθῆναι κατὰ ῥῆμα τὰ προεκτεθειμένα σιγίλλια τοῦ διαληφθέντος πορφυρογεννοῦς αὐτοκράτορος, ἵν' ἐντεῦθεν εἶεν ἐγνωσμέναι κατ' ὄνομα. εἶχε μὲν οὖν οὕτω ταῦτα μέχρι πολλοῦ· καὶ πολλοὶ τῶν ἐφεξῆς εὐσεβῶν βασιλέων τῷ γε τούτου σκοπῷ λαβόντες γνώμην ἀκόλουθον, τὰ αὐτὰ καὶ οὗτοι περὶ τὴν ἀρχιεπισκοπὴν ἐνεδείξαντο. ἀλλ' ἐπειδὴ φιλεῖ πολλάκις μὴ πρὸς τέλος παραμένειν, ἀλλ' ἔστιν ὅπου δὴ καὶ (л. 121[b]) συνεχῶς μετακινεῖσθαι τὰ πράγματα, οὐδ' ἐπ' αὐτῇ τὰ τελεσθέντα τῷ μα-

καρίτῃ τούτῳ βασιλεῖ διέμεινεν ἀπερίτρεπτα. ἀλλ' ἴσχυσε καὶ αὖθις κατὰ τούτων ὁ χρόνος καὶ ἡ ἐντεῦθεν ἄλλοτ' ἄλλως ἐπισυμβαίνουσα σύγχυσις. καὶ δὴ τῶν τοιούτων ἱερῶν ἐκκλησιῶν πολλαὶ μὲν καὶ ἐφεξῆς ὑπὸ τοῖς ἐναντίοις ἁρπαγεῖσαι κατέστησαν, πολλαὶ δὲ πάλιν ἐπαλλήλοις ταῖς αἰτίαις εἰ μὴ ὅσον ἄν γε ἥκῃ αἰτιᾶσθαί τινα πρὸς τοὐμφανὲς τὴν τῶν πραγμάτων περίπτωσιν, ἄλλαι παρ' ἄλλοις τῶν παρ' ἡμῖν ἀρχιερέων γεγόνασιν. ἐντεῦθεν πολλοὶ μὲν κατ' ἄλλους ἄλλος καιροὺς τῶν διέπειν λαχόντων τὸν θρόνον τῆς ἁγιωτάτης ταύτης ἀρχιεπισκοπῆς, πολλά τε εἰπόντες καὶ πράξαντες πῶς ἂν γένοιτο τούτοις ταύτας ἐπανελθεῖν, ὅμως πρὸς μηδὲν ἀνῦσαι τέλος τὸ σπουδαζόμενον ἔδοξαν. τοῦτο δέ τισιν ἐκείνων μικρὸν κέρδους παρεῖχε μόνον πρὸς τὸν σκοπὸν ἀνακινοῦσιν ἀεὶ τὴν εἰς ἑαυτοὺς αὐτῶν ἐπανάκλησιν, ὅτι παρὰ βασιλέων ἐλάμβανον (л. 122[a]) ἐγγράφους προσταγὰς δικαιώσεων, οἱονεὶ διατεμνόντων τὴν τῶν χρόνων ἐπίτασιν καὶ ἀρχὴν ἐκείνοις παρεχόντων κατὰ διαστάσεις ἑκάστοτε, πῶς ἂν ἐξέσται τοῖς τοιούτοις λαλεῖν καὶ μὴ τὴν δίκην παντελῶς αὐτοῖς ἀποκλείεσθαι. ἴσως δ' ἂν καὶ φαίη τις ἕτερος, ὡς μόνῳ δὴ τῷ νῦν ἀρχιερατικῶς λαχόντι ταύτης προΐστασθαι τοῦτ' αὐτὸ πρεσβεῖον παρὰ τῆς ἡμετέρας εὐσεβοῦς βασιλείας ἐταμιεύετο, ἵν' ἅμα μὲν καὶ βασιλεῦσιν ἐκείνοις, οἳ μεγάλην τὴν σπουδὴν ὥς γε ἔφθημεν εἰπόντες ὑπὲρ αὐτῆς κατεβάλοντο, παρὰ τῆς ἡμετέρας βασιλείας ἀποσωθείη τὰ τῆς προσηκούσης αἰδοῦς, ἅμα δὲ κἀντεῦθεν εἴη καταφανές, ὁπόσον δὴ καὶ διαθέσεως ἡμεῖς περὶ αὐτὸν μεγίστης ἐκτρέφομεν. ὅθεν ἀκολούθως αὐτῷ καὶ τῷ δικαίῳ εἶναι λαμβάνειν πέρας παραυτὰ τῶν αἰτήσεων· μετέσχε γὰρ οὐκ εἰς μικρὸν ἐκ τῆς ἐμῆς βασιλείας, ἀλλ' ἑαυτὸν(?) διερεθίζειν ἱκανὰ πρὸς τελεωτάτην περὶ ἡμᾶς εὔνοιαν καὶ τὴν ἐμὴν δὲ αὖθις βασιλείαν οὑτωσὶ περὶ αὐτὴν διατίθεσθαι· πρὶν γὰρ ἢ (л. 122[b]) περιτεθῆναι τούτῳ τὸ σεμνὸν τῆς ἀρχιερατείας ἀξίωμα, τῆς περὶ ἡμᾶς τε οἰκειώσεως μακρὸν ἀπέλαυσε χρόνον καὶ τὰ τῆς ἁγιωτάτης αὐτῷ συνυπῆρχε προήκοντα μετὰ τῶν ἀποδεδομένων αὐτῷ παρὰ τοῦ ἡμετέρου κράτους τιμῶν. ἐπεὶ δὲ ἄνωθεν αὐτῷ καὶ ὁ τῆς ἀρχιερωσύνης ἐπεψήφιστο θρόνος, οὐ μέγα εἰπεῖν, ὅτι καὶ ἡμεῖς ἐπὶ τουτῷ θεοῦ γεγόναμεν συνεργοὶ κατὰ τὸν ἱερὸν καὶ θεῖον ἀπόστολον. προήγην-

ται μὲν οὖν ταῦτα. ἃ δὲ καὶ αὐτὸς ἀφ' ἑαυτοῦ συνεισφέρει, τὸ τῆς ἀρετῆς αὐτῷ περιὸν ὀλίγους εἶναι τούτῳ παραπλησίους ποιεῖ. τὰ δ' ἐς τὴν τῶν λόγων παιδείαν μετὰ τῶν οἷς πολὺς [1]) ἐπὶ σοφίᾳ λόγος συνάπτεται, ἵνα μὴ καὶ τἄλλα καταριθμοῖμεν, ὁπόσα τὸν διὰ πάντων ἀγαθὸν ἀποφαίνουσιν. ἐπεὶ οὖν ὁ μακαριώτατος οὗτος τῆς Πρώτης Ἰουστινιανῆς καὶ Βουλγαρίας πάσης ἀρχιεπίσκοπος ἤδη πρὸς τὴν ἡμετέραν βασιλείαν καὶ τὸν περὶ τούτων λόγον κεκοινώνηκε καὶ σὺν τῷ εὐλόγῳ δικαίαν ἅμα προύτεινεν αἴτησιν πρὸς τὴν κατ' αὐτὸν δὴ ταύτην ἁγιωτάτην ἀρ(л. 123^{a})χιεπισκοπὴν ἐπανασωθῆναι τὰς ἐφ' αἷς τῶν εἰρημένων ἀρχιερατικῶν ἐκκλησιῶν ἀπὸ πολλοῦ τοῦ χρόνου παρὰ τῶν παρ' ἡμῖν ἀρχιερέων, ἠδίκηται ὡς ἄνω διϊὼν ὁ λόγος ἐδήλωσεν, ἡ ἐκ θεοῦ βασιλεία μου ἐπικλινὲς παρέσχε τούτῳ πρὸς τὴν δέησιν οὓς καὶ ἐπιβραβεύει παραυτίκα τὸν παρόντα χρυσόβουλλον αὐτῆς. καὶ περὶ μὲν τῶν ὑπὸ τοῦ τῶν ἀλλοτρίων μέρους κατεχομένων ἀρχιερατικῶν ἐκκλησιῶν, ἃς δὴ καὶ ταύτας τὰ προεκτεθειμένα διαλαμβάνει σιγίλλια, οὐδὲν ἀποφαινόμεθα πλέον, ὅτι μηδ' ὑπὸ τὴν ἡμετέραν ἀρτίως διατελοῦσιν ἀρχήν, ἢ ὅτι θεῷ μελήσει περὶ αὐτῶν, ᾧ καὶ πάντα τὰ καθ' ἑαυτοὺς ἀναρτῶμεν, πῶς ἂν εἰ εὐδοκήσει, καὶ ταύτας εἰς τὴν ἀρχαίαν ἐκείνην τάξιν ἐπαναγάγῃ καὶ τῷ κοινῷ τῶν Ῥωμαίων ἐπισυνάψοι σχοινίσματι. τὸ δ' οὖν παρὸν θεσπίζει τὸ εὐσεβὲς ἡμῶν κράτος καὶ προστάσσει καὶ διατάττεται, ἵν' ἄδειαν ἔχει τοαποτοῦδε ὁ μακαριώτατος οὗτος ἀρχιεπίσκοπος πρὸς τὴν κατ' αὐτὸν ἁγιωτάτην ἀρχιεπισκοπὴν ἐπανασώσασθαι πάσας (л. 123^{b}) τὰς ἀρχιερατικὰς ἐκκλησίας, ὅσαι τοῖς προεκτεθεῖσι σιγιλλίοις τοῦ διαληφθέντος πορφυρογεννοῦς καὶ ἀοιδίμου βασιλέως Βασιλείου τοῦ Βουλγαροκτόνου διειλημμέναι παρ' οἱουδήτινος τῶν παρ' ἡμῖν ἀρχιερέων οἱῳδήτινι τῶν εἰρημένων τρόπων πεπλεονέκτηνται· καὶ ἥτις μὲν τοῖς παλαιοῖς ἐκείνοις χρόνοις ὑπ' αὐτὴν συνετάττετο, καιρῷ δὲ ὕστερον ἀποσεισαμένη τὸ ὑπ' αὐτῆς ἄρχεσθαι ἄρχειν αὐτὴ καθ' ἑαυτὴν ἠγάπησε μᾶλλον, πάλιν ὑπ' αὐτὴν κατασταίη καὶ ὁ ἀρχιερατεύειν τῆς τοιαύτης λαχὼν πνευματικῶς ὑποταγείη τῷ μακαρίῳ τούτῳ ἀρχιεπισκόπῳ καὶ ἅπαν τὸ κατ' ὀφει-

[1]) cod. переправляетъ изъ πολλοῖς въ πολλὺς.

λὴν ἀποδώσει, ὡς ὑπὸ τούτῳ ταττόμενος. εἴ τις δὲ καὶ εἰς ἰδίαν ἄνωθεν καθισταμένη ἀρχὴν ἢ ἄλλως πως διατελοῦσα καὶ μὴ ὑποκειμένη τῇ ἁγιωτάτῃ ταύτῃ ἀρχιεπισκοπῇ μίαν τινὰ ἢ καὶ δύο καὶ πλείους, καὶ εἰς ὅσον ἂν ἁπλῶς ἥκοιεν μέτρου τῶν ὑπ' αὐτὴν ἀρχιερατικῶν ἐκκλησιῶν τῷ καιρῷ ξυνεπιτεθεῖσα πρὸς ἑαυτὴν μεθειλκύσατο καὶ ταύτην ἢ καὶ ταύτας παρευθὺς ἀπολύσῃ ὑπὸ τὴν ἁγιωτά(л. 124ª)την ἀρχιεπισκοπὴν καὶ αὖθις καθίστασθαι, πλὴν εἰ μή τις τούτων τε κἀκείνων ἔχει προβαλέσθαι δικαίωσιν ἐξ ἐπιγράφου διαταγῆς τινὸς τῶν ἀοιδίμων βασιλέων, ὅσοι μετὰ τὸν μακαριστὸν ἐν βασιλεῦσι τὸν πορφυρογεννῆ Βουλγαροκτόνον Βασίλειον τὴν ἡγεμόνα τῶν Ῥωμαίων ἀρχὴν καὶ κατεδέξαντο καὶ διΐθυνον, σὺν τελευταίῳ δὴ τῷ ἀειμνήστῳ πορφυρογεννεῖ βασιλεῖ τῷ Κομνηνῷ Μανουήλ· ὁ γάρ τοι τοιοῦτος ἀρχιερεὺς προσκομίζων εἰς τὴν ἡμετέραν βασιλείαν καὶ διεμφανίζων τὴν βασιλικὴν ἐκείνην δικαίωσιν διαμενεῖ κατὰ τὴν οἰκείαν τάξιν παρὰ μηδενὸς διοχλούμενος· τὰ μὲν γὰρ ἄνω εἴ τι καὶ συμβέβηκέ πως ἐπὶ ταύταις οἱασοῦν περιπετείας, ὁ πορφυρογεννὴς ἐκεῖνος αὐτοκράτωρ Βασίλειος διὰ τῶν προεκτεθέντων τούτου σιγιλλίων διαλελυκὼς ἀπεκλείσατο. τὰ δὲ μετὰ τὸν πορφυρογεννῆ καὶ μακαρίτην Κομνηνὸν Μανουὴλ ἐκεῖνον αὐτάνακτα εἴ τις ἴσως γε καὶ ἔχει προτείνειν οἱονοῦν ἐκ βασιλέως δικαίωμα, ἐπεὶ καὶ τὰ μετ' ἐκεῖνον (л. 124ᵇ) ταῖς ἐπισυμβαινούσαις ἐπηκολουθηκέναι μᾶλλον συγχύσεσι λογιζόμεθα, ὅτι καὶ μικρὸν ὁ χρόνος προέβη καὶ παραυτὰ τῆς βασιλίδος ταύτης ἐξώσθημεν, μὴ τὸ στέργον ἔχειν τοῦτο διατατόμεθα. τοῦτο δέ φαμεν οὐχ ὅτι δὴ καὶ τοῖς τοιούτοις ἀοιδίμοις βασιλεῦσι τὴν ὀφειλομένην αἰδῶ διασῴζειν ἡμεῖς οὐ βουλόμεθα, ἀλλ' ὅτι γε δικαίως ὑπειλήφαμεν μᾶλλον ὡς ἂν εἴ τις γε ἐκείνων ἴσως τι τοιοῦτον ἐπὶ τῶν τῆς ἀρχιεπισκοπῆς δικαίων ἔφθασε διατάξασθαι ἐκτὸς ἱσταμένης ἂν ἀνάγκης τῶν ἐπισυμβαινουσῶν περιπτώσεων τῆς καιρικῆς ἀνωμαλίας, κατὰ νοῦν τε τὸ τοιοῦτον ἔσχε καὶ διεπράξατο· ἑτέρως γὰρ πῶς ἂν οἰήσετό τις ἀληθὴς ἐπιγνώμων τοῦ ἐκείνων σκοποῦ, ὡς οὐκ ἂν κἀκείνοις ἀγαθοῖς βασιλεῦσιν ἡ αὐτὴ συνετηρεῖτο εὐλάβεια πρὸς τοὺς δηλωθέντας πρὸς αὐτὸν αὐτοκράτορας, ἐφ' οἷς ἐκεῖνοι διε-

φθάσαντο πράξαντες. ἀλλ' ἐπειδή γε φιλανθρώπως [1]) θεὸς ἡμᾶς ἐπανήγαγεν εἰς τὸ πατρῷον τοῦτο καὶ βασίλειον ἔδαφος, τί μὴ καὶ αὐτοί, ὅσον εἰς τὴν ἡμετέραν δύναμιν ἥκει διὰ τῆς ἄνωθεν χάριτος, (л. 125ᵃ) τῇ ἁγιωτάτῃ ταύτῃ ἀρχιεπισκοπῇ κατὰ τὸν τοῦ εἰκότος συμβαλλοίμεθα λόγου, καὶ τὰ πρεσβεῖα προσαποδοίημεν τρόπον, ὃν διὰ τοῦ παρόντος χρυσοβούλλου διεξεθέμεθα, καὶ ἅμα μὲν θεῷ τε καὶ τῷ δικαίῳ τὸ προσῆκον ἔνθεν ἀφοσιώσαιμεν, εἰς ὃν καὶ τὰ τῆς τοιᾶσδε διαβαίνει τιμῆς, καθὼς ἅμα δὴ καὶ τῷ τοῦ λόγου κατάρξαι παραυτίκα διεσημηνάμεθα, οὕτω δὲ καὶ τὴν ὀφειλομένην ἀποτίσαιμεν χάριν τοῖς φιλευσεβέσιν ἐκείνοις μακαριστοῖς αὐτοκράτορσιν, ὧν ὁ μὲν τῇ ἁγιωτάτῃ ταύτῃ ἀρχιεπισκοπῇ δεξιά τις ἐπὶ πᾶσιν ἐγεγόνει τῶν μεγάλων καὶ τιμῶν καὶ πρεσβείων ἀρχή, οἱ δὲ τὴν ἐφεξῆς καλῶς ποιοῦντες τῶν ἐκείνῳ περὶ ταύτην δοξάντων ἐξ ἑαυτῶν παρέσχον ἀσφάλειαν. προσέσται τοίνυν ὁ παρὼν χρυσόβουλλος τῆς βασιλείας ἡμῶν τῇ ἁγιωτάτῃ ταύτῃ ἀρχιεπισκοπῇ πάσης Βουλγαρίας τῇ καὶ Πρώτῃ Ἰουστινιανῇ εἰς διαρκοῦσαν τῶν εἰρημένων βεβαίωσιν, ὁ καὶ ἀπολυθεὶς κατὰ μῆνα τοῦτον τῆς ἐνισταμένης ἰνδικτιῶνος τοῦ ἑξακισχιλιοστοῦ ἑπτακοσιοστοῦ ὀγδοηκοστοῦ ἔτους, (л. 125ᵇ) ἐν ᾧ καὶ τὸ ἡμέτερον εὐσεβὲς καὶ θεοπρόβλητον ὑπεσημήνατο κράτος:—

Εἶχε καὶ ὑπογραφὴν διὰ χρυσῶν γραμμάτων καὶ βασιλικῆς χειρός·

Μ ι χ α ὴ λ ἐν Χριστῷ τῷ θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων Δ ο ῦ κ α ς Ἄ γ γ ε λ ο ς Κ ο μ ν η ν ὸ ς ὁ Π α λ α ι ο λ ό γ ο ς:—

---

[1]) φιλάνως cod.

III.

Изъ Sinait. 355(**531**) лл. 180ª—183ᵇ.

Νικηφόρου τοῦ ἁγιωτάτου καὶ οἰκουμενικοῦ πατριάρχου στίχοι περὶ διαίτης εἰς τὸν πρῶτον τοῦ Ἁγίου Ὄρους κὺρ Ἰωαννίκιον, τὸν εἰς τὸν πρωτάτον τῶν μονῶν τοῦ Ἁγίου Ὄρους προϊστάμενον.

Πολλάκις μὲ ἠξίωσας, τέκνον εὐλογημένον, διὰ γραφῆς δηλῶσαι σοι, πῶς ὀφείλεις διάγειν εἰς εὐχὴν εἰς ἐγκράτειαν εἰς ἀληθῆ νηστείαν, ἔτι ⟨καὶ⟩ διὰ τὸ πλεῖστον φημὶ τοῦ ὅλου χρόνου. καὶ δὴ πεισθεὶς τοῖς λόγοις σου, εἶξα τῇ σῇ αἰτήσει· ἐχάραξά σοι, ὡς ὁρᾷς, τὰ τῇδε γεγραμμένα, ἀρχὴν ἔνθεν ποιούμενος ὅθεν ἄρχεσθαι θέμις:

Ὅρος κανὼν καὶ τύπος:

Σεπτέμβριος εἰσέρχεται πρῶτος μὴν τῆς ἰνδίκτου. Καὶ δεῖ σε πάντως φυλακὴν ἔχειν ἐν ταῖς νηστείαις. νηστείαν δὲ ποίαν φημί; τῶν ἡμερῶν τῶν δύο· τετράδαν καὶ παρασκευὴν πάσας τοῦ χρόνου ὅλου. Ἀλλὰ νηστείαν ἀκριβῆ, ὡς οἱ πατέρες φάσκουν, ἰχθύων τε ἀπέχεσθαι ἐλαίου τε καὶ οἴνου, μονοσιτίαν ἅπτεσθαι ἅπαξ ἐν ταῖς ἐννάταις. τοῦ χρόνου τὰς δευτέρας τε ὡς βούλει ἐγκρατεύου. τῶν δὲ γʹ τεσσαρακοστῶν, ὡς τὰς τετράδας πρόσχες. τῶν μοναχῶν δ' ὡς ἀληθῶς ἄλλος βίος ὑπάρχει, ἀκρίβειαν ὁρίζουσι φοβερὰν καὶ μεγάλην. τὰς δ' ἑορτάς, ἃς λέγομεν δεσποτικὰς οἱ πάντες, ἐν αἷς καὶ καταλύομεν εἰς βρῶσιν τε καὶ πόσιν, νῦν προτιθέσθω πρότερον γέννησις τῆς παρθένου καὶ θεοτόκου ἀληθῶς τῆς πανάγνου δεσποίνης. λοιπὸν ἡ τοῦ δεσπότου γέννησις κατὰ σάρκα, ἡ τούτου πάλιν βάπτισις δι' ἡμᾶς τοὺς φθαρέντας, ἀνακαινίσαι θέλοντος ἐν ῥείθροις Ἰορδάνου. ἡ τούτου οὖν εἰσένεξις εἰς ναόν τε τὸν θεῖον, ἣν πάν-

τες ὀνομάζομεν ὑπαπαντὴν Κυρίου, σὺν ταύταις ἡ ἐν τῷ Θαβὼρ ἔλλαμψις τοῦ προσώπου· Χριστοῦ γὰρ οὕτως λέγομεν μεταμόρφωσιν θείαν. τῆς παναμώμου τοῦ θεοῦ καὶ μητρὸς κατὰ σάρκα ἡ κοίμησις ἡ πάντιμος καὶ ξένη ἐκδημία, ἐν ᾗ νηστεία πρὸς αὐτῆς κανονικῶς τελεῖται. ἀρχὴν καὶ τέλος εἴληφαν καὶ πάντιμοι καὶ θεῖαι τῆς θεοτόκου ἑορταὶ αἱ καὶ μητρὸς Κυρίου. ἀρχὴν ἔσχεν ἡ γέννησις, ἡ κοίμησις τὸ τέλος. προκείσθω ταύτην οὖν λοιπὸν καὶ μία τοῦ Προδρόμου. ἡ γέννησις ἡ ἔνδοξος καὶ παράδοξος ὄντως· τῆς κεφαλῆς ἡ ἐκτομή, ἣν ὑπέστη ἀδίκως. Ἐπισυνάψας οὖν αὐταῖς τῶν θείων ἀποστόλων, Παύλου φημὶ τοῦ κήρυκος, τοῦ κορυφαίου Πέτρου, ἐν ταύταις οὖν ταῖς ἑορταῖς εἰ μέλλεις καταλύειν, ἐν αἷς ὑπάρχει ἡ τετρὰς τῶν ἡμερῶν ἡ ἕκτη, ὀψάριον κατάλυε καὶ ἔλαιον καὶ οἶνον. Ἐν μόνῃ δὲ τῇ τοῦ Χριστοῦ γεννήσει καὶ θεοῦ μου τυροῦ, ᾠοῦ καὶ γάλακτος, οὕτως ἑστιαθήσει, καὶ τοῦ ἁγίου πνεύματος τῆς τυρινῆς ἐννάτας. ταῖς δὲ λοιπαῖς ἀρκέσθητι εἰς οἶνον καὶ ἰχθύας. Ἄλλως οὐ κανονίζοντες οὐδὲ νομοθετοῦντες οὐδὲ πρὸς τὴν ἀκρίβειαν τὴν τῶν πατέρων λέγω, ἀλλὰ πρὸς τὴν ἀσθένειαν τὴν ὑμετέραν γράφω. τὰς δὲ λοιπὰς τῶν ἑορτῶν, ἐν αἷς ἀργία ἔστιν, ἀργίαν δὲ ποίαν φημί; τῶν μετανοιῶν καὶ ἔργου. καὶ τίνες δὲ ὑπάρχουσι, ἀπαριθμοῦμεν ἤδη· αἱ τῶν μαρτύρων ἱερῶν, ἐξόχως ὧν αἱ μνεῖαι. σὺν τούτοις τῶν ἱεραρχῶν καὶ ἱερομαρτύρων, ἀσκητῶν ἡ ὁμήγυρις, προεχόντων τῶν ἄλλων, οὕστινας δὴ τὸ τυπικὸν πολυελέους γράφει. ἐν ταύταις οὖν ταῖς ἑορταῖς ἔασον τὴν νηστείαν, ἂν τύχῃ τὴν παρασκευὴν καὶ τὴν τετράδα, φίλε, καὶ φάγε καὶ τὸ ἔλαιον καὶ πίε καὶ τὸν οἶνον. ἰχθύων δὲ μὴ ἅψεσαι ἐν ταύταις ταῖς ἡμέραις. καὶ μή μοι μέμφοιο λοιπὸν ὡς ἀκριβολογοῦντι. καὶ τῶν πολλῶν μὴ φθέγγεσαι τοὺς λόγους καὶ τοὺς ψόγους. Ἀλλ' ἑαυτὸν εὐτρέπιζε πρὸς τὴν μέλλουσαν κρίσιν, ἐν ᾗ οὐκ ἔστι πρόφασις οὐδ' ἀποκρίσεις λόγων. Κἀγὼ δὲ περὶ τούτων νῦν καταπαύσω τὸν λόγον. Ἀρκέσθητι οἷς ἔγραψα καὶ μηδὲν πλεῖον ζήτει, εἰδὼς τὴν ἀγροικίαν μου καὶ τὸ στενὸν τοῦ λόγου· ὑπόθεσις γὰρ πρόκειται πλείων τῶν γεγραμμένων. καὶ δὴ λοιπὸν ἀπάρξασθαι τοῦ γράφειν πάντα ταῦτα. Σαρακοστὴ εἰσέρχεται μεγάλη καὶ ἁγία, καὶ ταύτης ἡ ὑπόθεσις ὥσπερ ἄνωθεν εἶπον· μηδέν σε δόξῃ περιττόν, ὃ μέλλω γράφειν ἄρτι. ἄλλον σκοπὸν ἐγράψαμεν ἄλλης νηστείας ὅρον.

τῆς νῦν λοιπὸν ἡ δίαιτα ὅλως ἐκλελεγμένη, διότι καὶ πανθαύμαστος καὶ φοβερὰ τυγχάνει. Καὶ γνώσει τοῦτο ἀκριβῶς, εἰ νουνεχῶς προσέχεις. τὸ πρῶτον τοίνυν στάδιον τῆς πρώτης ἑβδομάδος οἱ πλείους τῶν ἀγωνιστῶν ἄσιτοι παρεοῦσι, οὐδὲ ὡς ἀσθενέστερος ἄρτον καὶ ὕδωρ λήψει παρὰ μικρὸν τῆς χρείας σου ἐσθίειν καθ' ἡμέραν, ὡς ἔφη ὁ πατὴρ ἡμῶν Θεόδωρος ὁ μέγας. Τὰς πέντε τοίνυν φύλαξον ἡμέρας, ὥσπερ ἔφην. τὰς δύο δὲ κατάλυε εἰς ἔλαιον καὶ οἶνον καὶ εἴ τι ἄλλο εὑρεθῇ ἐκ τῶν ὀστρακοδέρμων. ὅταν δὲ πρώτη ἑβδομὰς σὺν θεῷ πέρας λάβῃ, τὰς τρεῖς ἡμέρας φύλαττε τῶν λοιπῶν ἑβδομάδων, τετράδα καὶ παρασκευήν φημι καὶ τὴν β'. τὰς δὲ δύο κατάλυσον εἰς ἕψημα καὶ μόνον. Εἰ δὲ καὶ ταύτας δύνασαι φυλάττειν ὡς τὰς ἄλλας, ἕξεις πλείω ὠφέλειαν, ὡς ἐντολὴν πληρώσας. σαββάτῳ καὶ κυριακῇ λύε, ὡς προεγράφη. ἰχθύος τε μὴ ἅψεσαι ἐν ταῖς ἡμέραις ⟨ταύταις⟩, εἰ μὴ τοῦ Εὐαγγελισμοῦ τὴν ἑορτὴν καὶ μόνην. τὴν δὲ σεπτὴν καὶ πάντιμον μεγάλην ἑβδομάδα οὕτως ἔδει φυλάξασθαι, ὡς οὐδεμίαν ἄλλην. ἅπαξ καὶ μόνον λύσαι δεῖ ἐν τῇ μεγάλῃ πέμπτῃ. ἂν δὲ μιᾷ τῶν ἡμερῶν ἑορτὴ ἀπαντήσῃ, ἑορτὴν δὲ ποίαν φημί; τὴν κεφαλὴν ἁπάντων, ἐν ᾗ ὁ εὐαγγελισμὸς τῆς θεοτόκου κόρης. ἀλλ' οὐκ ἰχθύος ὥς τινες, ἀλλ' οἴνῳ καὶ ἐλαίῳ. Παρασκευὴν καὶ σάββατον ἄσιτος διαμείνας, ἕως τὸ τέλος δώσει σοι ἡ θεία λειτουργία. καὶ οὕτως ἑστιάθητι, εὐχαριστῶν Κυρίῳ. Ἰδοὺ λοιπὸν ἐφέστηκε λαμπροφόρος ἡμέρα ἡ τοῦ Χριστοῦ ἀνάστασις πιστῶν ἡ εὐφροσύνη· πατήσας γὰρ τὸν θάνατον ὡς θεὸς καὶ δεσπότης, ἐξανέστη τριήμερος ὥσπερ πάλαι προεῖπεν. Ἀπόθου τοίνυν καὶ αὐτὸς τὸν πενθήρη χιτῶνα καὶ τὴν νηστείαν σχόλασον· οὐκ ἔστι γὰρ νηστεία, ἀλλ' εὐφροσύνη καὶ χαρά, ὡς μοναχοῖς ἁρμόζει. Ἐνταῦθα δὲ γενόμενος βούλομαί τι προσθεῖναι ἐκ τῶν πανσόφων καὶ χρυσῶν λόγων τοῦ Χρυσοστόμου· ἐκεῖνος γὰρ ἐφθέγξατο εἰς ἕνα τούτων οὕτως· Εἰ καὶ παρῆλθεν ὁ καιρὸς τῆς παντίμου νηστείας, ἀλλ' ἡ αὐτῆς ὠφέλεια ἐν ὑμῖν ἀεὶ ἔστω. Ὅθεν κἀγώ σοι παραινῶν, ταῦτα καὶ νῦν σοὶ γράφω· Εἰ τάχα καὶ παρήλασεν ὁ τῆς νηστείας χρόνος, ἀλλὰ τῆς ἐγκρατείας τε παρέδραμεν οὐδόλως. Καὶ δεῖ σε ταύτην ἀσφαλῶς ὡς τιθηνὴν κατέχειν. Ἐὰν διέλθῃ ἡ ἑβδομὰς τῆς διακινησίμου,

μονοπροσώπως φύλαττε τετράδα καὶ τὴν ε΄. τοῦ οἴνου ἀπέχου παντελῶς καὶ τῶν ἰχθύων βρῶσιν, τὰς δὲ λοιπὰς ἡμέρας τε τῆς ἑβδομάδος ὅλης νηστείαν οὐ θεσπίζομεν οὐδὲ γονυκλισίαν. ταύτας γὰρ τὰς πεντήκοντα οἱ θεῖοι ἡμῶν πατέρες ἀνακυκλοῦντες ἔφασαν μίαν εἶναι ἡμέραν. Καὶ περὶ τούτων δὲ λοιπὸν ἀρκέσθητι ἐνταῦθα· ἀγὼν γάρ μοι ἐπίκειται πάλιν ἐνταῦθα ἄλλος· αἱ δύο τεσσαρακοσταὶ κατελήφθησαν οὕτως· μᾶλλον καὶ ἡ τὸν αὔγουστον τελουμένη νηστεία· καὶ περὶ τούτων δεῖ εἰπεῖν ὡς δυνατὸν ὑπάρχει. Καὶ πρότερον δηλώσωμεν περὶ τῶν Χριστουγέννων. Παράδοσιν ἐλάβομεν ἐκ τῶν ἐκπάλαι χρόνων ἐν ταύτῃ τῇ σαρακοστῇ μονοσιτίαν ἔχειν, ἀλλ' οὐδ' ἰχθύων ἅπτεσθαι ἐν ταῖς τρισὶν ἡμέραις, δευτέραν καὶ παρασκευὴν οὐκ ἔλαιον οὐκ οἶνον, σαββάτῳ καὶ κυριακῇ μεταλαμβάνειν πάντων. Τὴν δ' ἑβδομάδα λέγω οὖν τὴν πρὸ τῆς ἀποκρέου, ἣν καὶ ἐπονομάζομεν τὴν τοῦ ἀρτζιβουρίου, οἱ πλεῖστοι ἔθος ἔλαβαν ἀδεῶς καταλύειν τετράδα καὶ παρασκευὴν οἱ κοσμικοὶ τὸ κρέας, ὡσαύτως καὶ οἱ μοναχοὶ τυροῦ μεταλαμβάνειν, κακῶς νοοῦντες ἀληθῶς καὶ πράττοντες ὁμοίως. οἳ μὲν φυλῆς κατὰ τὸν νόμον(?) ἐκ τῆς τῶν Ἀρμενίων καὶ εἶχον καὶ τὴν αἵρεσιν τὴν τοῦ ἀρτζιβουρίου, καλῶς ποιοῦσι λύοντες ἅπασαν ὑποψίαν· οἳ δὲ πιστοὶ ὀρθόδοξοί εἰσι καὶ ἐκ προγόνων, εἰς μάτην προφασίζονται λύοντες τὴν νηστείαν. Ἐκεῖνοι γὰρ νηστεύουσιν ὅλην τὴν ἑβδομάδα ἄρτῳ καὶ μόνῳ τρέφεσθαι ἀλί τε καὶ λαχάνοις, ἡμεῖς δὲ καταλύομεν ἀπ' αὐτῆς τῆς δευτέρας εἰς ἔλαιον εἰς οἶνόν τε καὶ εἰς ἰχθύων βρῶσιν. λοιπὸν ἐκ τούτου δείκνυται μὴ κοινωνοῦντες τούτοις. καὶ ταῦτά σοι ἐγράψαμεν πρὸς τοὺς ῥαθυμωτέρους, τῶν δ' ἀληθῶς ἀγωνιστῶν ἄλλος κανὼν τυγχάνει.

Ἔρρωσο τοίνυν πρώτιστε τοῦ Ὄρους τοῦ Ἁγίου.

IV.

Изъ Sinait. 1605 л. 130b.

Замѣтка о надписяхъ въ монастырѣ св. Екатерины.

Ταῦτα ἐστάλθησαν ἐν τῷ ἁγίῳ μοναστηρίῳ νὰ σημειωθῶσιν εἰς τὸ ταβάνι.

Τῷ βασιλεῖ τῶν αἰώνων ἀφθάρτῳ ἀοράτῳ μόνῳ σοφῷ θεῷ τῷ ἐνθάδε ἐν φλογὶ πυρὸς παραδόξως ἐπὶ τῆς βάτου ὀφθέντι καὶ τῷ προφήτῃ αὐτοῦ Μωυσῇ συλλαλήσαντι, καὶ γῆν ἁγίαν, κατὰ τὴν γραφήν, τὸν τόπον τοῦτον ἀποκαλέσαντι, τιμὴ καὶ δόξα αἰώνιος· τῇ γὰρ παντοκρατορικῇ αὐτοῦ δυνάμει μετὰ τὴν τοσούτων αἰώνων πάροδον τὴν τοῦ ἁγίου τούτου οἴκου ὁρωμένην ὀροφὴν γενέσθαι ηὐδόκησε. ἥτις ἀρίστῃ ἐμπείρου τεχνίτου Ἰωάννου Κορνάρου Κρητὸς χειρὶ ἐπὶ τοῦ πανιερωτάτου ἀρχιεπισκόπου Σινᾶ καὶ Ῥαΐθοῦ καὶ ὑπερτίμου κυρίου Κυρίλλου τοῦ Κρητὸς ἐζωγράφηται, συνευδοκησάντων αὐτῷ πρὸς τοῦτο καὶ τῶν λοιπῶν τῆς μονῆς ταύτης πατέρων καὶ ἀδελφῶν, ὡς τὴν τοῦ τοιούτου θείου ἔργου δαπάνην ἐκ κοινοῦ ἐράνου πρὸς ἁγιασμὸν τῶν ἰδίων ψυχῶν καὶ διηνεκὲς τούτων μνημόσυνον καταλαβόντων· οὓς κληρονόμους τῶν αἰωνίων αὐτοῦ ἀγαθῶν ὁ κύριος ποιήσαιτο.

ἔτι δὲ τὰ τοῦ ἀοιδίμου κτήτορος, πρὸς δὲ καὶ τοῦ ἀρχιτέκτονος ὀνόματα ἐπὶ τῶν δοκῶν τῷ καταστεγάσματι ἤδη ἐπικαλυφθεισῶν κεχαραγμένα ἐτύγχανον. ταύτῃ τοι ἵνα καὶ αὖθις ὦσιν ὁρώμενα καὶ τοῖς βουλομένοις ταῦτα εἰδέναι εὐμαρῶς ἀναγινωσκό-

μενα, ἐνταῦθα ὡς ἔχουσι γράφονται. καὶ δὴ ἐν τῇ ϛ' δοκῷ ὑπῆρχον τὰ ἑξῆς·

✝ ὑπὲρ σωτηρίας τοῦ εὐσεβοῦς ἡμῶν βασιλέως καὶ αὐτοκράτορος Ῥωμαίων Ἰουστινιανοῦ.

ἐν δὲ τῇ ζ'.

✝ ὑπὲρ μνήμης καὶ ἀναπαύσεως τῆς γενομένης ἡμῶν βασιλίδος Θεοδώρας.

καὶ ἐν τῇ ιγ'.

✝ κύριος ὁ θεὸς ὁ ὀφθεὶς ἐν τῷ τόπῳ τούτῳ σῶσον καὶ ἐλέησον τὸν δοῦλον σου Στέφανον Μαρτυριούδην καὶ τὰ τέκνα αὐτοῦ Ἐλίσηον καὶ Νόναν. καὶ ἀνάπαυσον τὰς ψυχὰς τῶν κεκοιμημένων τέκνων αὐτοῦ Γεωργίου Σεργίου καὶ Θεοδώρου.

ἵνα δὲ καὶ τὰ ἐκτὸς τῆς μονῆς ἐν τῇ καλουμένῃ μάνδρᾳ ἐγγεγλυμμένα ἐπί τινος μαρμάρου ἀραβιστὶ γράμματα ἐγνωσμένα καὶ ταῦτα ὑπάρχουσι, ὡς τὸν κτίτορα καὶ ταῦτα, ναὶ μὴν καὶ τὸν χρόνον, καθ' ὃν καὶ τὸ ἱερὸν τοῦτο μοναστήριον ᾠκοδόμηται, ἐκδηλοῦντα. ταῦτ' ἄρα τοῖς περιέργοις χαριζόμενοι παρασημειοῦμεν καὶ ταῦτα ἐπιλεξικῶς οὑτωσὶ φάσκοντα·

ἐκ θεμελίων τὸ ἱερὸν τοῦτο μοναστήριον τοῦ ὄρους Σινᾶ, ἔνθα ὁ θεὸς τῷ Μωϋσῇ ἐλάλησεν, ᾠκοδόμηται τῷ τοῦ βασιλέως καὶ αὐτοκράτορος Ῥωμαίων Ἰουστινιανοῦ θεσπίσματι, πρὸς ἀοίδιον αὐτοῦ τε καὶ τῆς ἰδίας συζύγου μνημόσυνον, τῆς οἰκοδομῆς πέρας λαβούσης μετὰ τὸ τριακοστὸν ἔτος τῆς βασιλείας αὐτοῦ, ἡγούμενον Δουλᾶν ὀνόματι ἐν αὐτῷ καταστήσαντος. ἐν ἔτει ἀπὸ μὲν Ἀδὰμ ͵ϛκα'. ἀπὸ δὲ Χριστοῦ φκζ'.

V.

Изъ «Тактикона» Никона Дивногорца. Sinait. 436 (441) лл. 56^{b}—62^{a}.

А. Слово 4-е.

Часть его, носящая особое заглавіе, вся напечатана на стр. 567_{1}—$573_{7,\ 24-32}$, 574_{20}—575_{27} въ правомъ столбцѣ изъ Vindobon. hist. graec. 7 (Nessel; 45 Lambecius) лл. 210^{a}—211^{b}.

(л. 56^{b}) δʹ. ***Τοῦ αὐτοῦ εἰς τὸν μοναχὸν κύριν Λουκᾶν περὶ εἰδήσεως τῶν ἑορτῶν καὶ δεσποτικῶν νηστειῶν καὶ ἑτέρων ὑποθέσεων ἀναγκαίων· ἔτι δὲ καὶ περὶ τὸ τοῦ Νηστευτοῦ λεγόμενον νομοκάνονον.***

Πνευματικέ μου ἀδελφὲ κύρι Λουκᾶ. ἀπελάβαμεν τὰ πιττακίτζα καὶ καθὼς μας ἔγραφες περὶ πάντων ἐνεπιτόμως πρώην ἐγράψαμέν σοι σπουδαστικόν· ἀρτίως δὲ πλατυτέρως ἐγράψαμέν σοι τὴν εἴδησιν, ὅτι καθὼς ἐξεύρεις τοὺς πρώην μου διωγμούς, πρὶν ἔλθουν οἱ τῶν Τουρκῶν πειρασμοί. ὅταν δὲ ἦλθαν οἱ Τοῦρκοι, καὶ οἱ πειρασμοὶ ἐπῆλθαν τοὺς ἀνθρώπους διὰ τὸ μὴ ἀκούειν τοὺς νόμους τοῦ θεοῦ καὶ τὰς λοιπὰς θείας γραφάς. καὶ ἐν τούτῳ σχολάσαντες οἱ ἄνθρωποι, μᾶλλον δὲ οἱ ἔχοντες τὰ τοῦ κόσμου ἐσχόλασαν εἰς τοὺς πειρασμοὺς τῶν Τουρκῶν καὶ ἐμὲ ἀφῆκαν ἄκοντες καὶ μὴ βουλόμενοι καὶ καθὼς καὶ ἀπὸ ταχὺ ἔγραψά σε ἠνεπευόμην σωματικῶς ὡς ἠγάπουν, ὅπου ἂν ἤμουν. ἀρτίως δὲ διὰ τῆς χάριτος τοῦ θεοῦ ἐγένετο εἰρήνη κατακυριεύοντες τὰς χώρας οἱ Τοῦρκοι, οἷα οὐκ ἦτον, ὅταν οἱ ὁμόπιστοί μας τὴν ἐπικράτησιν εἶχον. καὶ ὡς ηὗραν οἱ ἄνθρωποι, μᾶλλον δὲ οἱ ἔχοντες τὰ τοῦ κόσμου ἄδειαν ἐκ τὰς σφαγὰς καὶ αἰχμαλωσίας, πάλιν ἀργοὶ καὶ ἐν εἰρήνῃ οὐ προαιροῦνται διάγειν καὶ δοξάζειν τὸν θεόν. ἀλλὰ ἤρξαντο πάλιν τὰς ἀρχαίας ταραχὰς καὶ συκοφαντίας καὶ ῥᾳδιουργίας διεγείρειν κατ' ἐμοῦ τοῦ ἐλεεινοῦ καὶ ἀναξίου. καὶ

διὰ τοῦτο ἠναγκάσθην διὰ τὰς ἀντιλογίας τῶν ἀνθρώπων καὶ ἐπροσέφυγα πρὸς τὸν θεὸν μόνον, μὴ ἔχων ἀλλαχοῦ παραμυθίαν πνευματικήν. ὅθεν καὶ τὴν ἀκρίβειαν πᾶσαν ταύτην πεποίηκα τῶν θείων γραφῶν, ὅπως πληροφοροῦμαι ἐξ αὐτῶν διὰ τῆς τοιαύτης ἀκριβείας τῶν θείων γραφῶν καὶ μὴ μολύνεται τὸ οἰκεῖον συνειδὸς ἐκ τὰς συκοφαντίας καὶ ῥᾳδιουργίας τὰς γινομένας παρὰ τοῦ ἀν- (л. 57[a]) τικειμένου διαβόλου· φοβοῦμαι γὰρ καὶ ἐν τούτῳ τὸ πληροφορεῖσθαι εἰς τὴν ἰδίαν γνῶσιν καὶ εἰς τὸ οἰκεῖον θέλημάν τε καὶ δικαίωμα, ὅτι ἐκ τοῦτο ἡ πλάνη ἐγγίνεται εἰς τὸ νομίζειν τινὰ μηδὲν πταίειν, ἀλλὰ τὸν πλησίον αἰτιᾶται εἰς πάντα, ὃ καὶ πολλοὶ ἔπαθον. καὶ διὰ τοῦτο ἐγὼ ὁ ἐλεεινὸς εἰς μέρος τὸ ἐμὸν φρόνημα τὸ κατὰ δύναμιν ἀποταξάμενος ὡς ἰδιώτης καὶ χωρικός, τὴν τοιαύτην ἀκρίβειαν τῶν θείων ἐπιλεξάμην γραφῶν, ἅμα τὰς τούτων ἑρμηνείας καὶ ὁμοῦ πάντα εἰς τὸ μέγα βιβλίον συνάψας, ὅπερ καὶ σὺ μετὰ σοῦ ἔχεις, ἔχοντα δι' ὅλης τῆς βίβλου τὰς εἰδήσεις τῶν θείων γραφῶν μὲ τὰς αὐτῶν ἑρμηνείας. καὶ ἐγὼ ὁ ἀνάξιος ὅλως οὐ πολυπραγμονῶ, ἀλλ' ὡς εἴ τις ἀγροικικὸς ἁπλοϊκῶς κατακολουθῶν ταῦτα, ὥς που τις τῶν πατέρων λέγει, ὅτι μὴ πολυπραγμόνει τὰς θείας οἰκονομίας, ἀλλὰ ἁπλοϊκῶς τοὺς θείους ὑποδέχεσθαι λόγους· κτηνώδης φησὶν ἐγενόμην παρὰ σοί. κἀγὼ διὰ παντὸς μετὰ σοῦ· προσήκει γάρ με φησὶ καθάπερ ἕπεται τὸ κτῆνος τῷ ἡγουμένῳ καὶ ἄγοντι μὴ περιεργαζόμενον ποῦ βαδίζει, οὕτω τοῖς σοῖς λόγοις πιστεύειν καὶ τοῖς σοῖς νόμοις ἀκολουθεῖν· τοῦτο γὰρ ποιῶν τῆς σῆς κηδεμονίας ἔρημος οὐ γενήσομαι. καὶ πάλιν ἕτερος λέγει, ὅτι δεινὸν καὶ ἐφάμαρτον τὸ καταφρονεῖν, μάλιστα δὲ τὰ τῷ θεῷ ἁρμόζον⟨τα⟩· καταφρονητὴς ἀνήρ φησιν ἀλαζὼν καὶ ὑπερήφανος, πρᾷος ἐστιν ὁ ἀμετάθετος ἐν παντὶ ἔργῳ τὸ πρὸς θεοῦ εὐαρέστησιν. ἐπὶ τίνα γάρ φησι ἐπιβλέψω, ἀλλ' ἢ ἐπὶ τὸν πρᾷον καὶ ἡσύχιον καὶ τρέμοντά μου τοὺς λόγους. καὶ ταῦτα μὲν οὕτως. διὰ τοῦτο, καθὼς καὶ προεῖπα, μετὰ φόβου τὰς ἁγίας ἐδουλώθην γραφάς. καὶ μάλιστα ὡς ὁρῶμεν καὶ ἀκούομεν, ὅτι οἱ τὰς γραφὰς ἐπιστάμενοι εἰς τὴν εἴδησιν τῶν γρα-

φῶν ἐγκαυχῶνται καὶ τὴν ἀφορμὴν ἔχουσιν ἐξ αὐτῶν βεβαιοῖν τὴν ἀλήθειαν· καὶ πάλιν οἱ τὰς γραφὰς ὅλως μὴ ἐπιστάμενοι τὰς γραφὰς ἔχουσιν ἀφορμὴν καὶ διὰ τοῦτο προστρέχουσι τοῖς ἀναγινώσκουσι τὰς γραφάς, (л. 57^{b}) ἐὰν καὶ ὅλως ἐπιγινώσκουσι. ἕνεκεν τοῦτο, καθὼς καὶ πολλαχοῦ λέγω, οὐχὶ τὰς ἁπλῶς γραφάς, ἀλλὰ τὰς ἁγίας καὶ ἀπὸ πνεύματος ἁγίου ἐκδεδομένας ἅμα ταῖς αὐτῶν ἑρμηνείαις τοῦ θεοῦ συνεργοῦντος ἐρευνήσας συνῆψα καὶ ταύτας ἐγὼ ὁ ἐλεεινὸς θέλων κατακολουθεῖν φοβούμενος τὴν ἰδίαν γνῶσιν, καθὼς καὶ πολλαχῶς εἶπα. καὶ ὅμως ἐὰν καὶ παρά τινων ἀντικειμένη διάλεξις σὺν ἡμῖν γένηται, εὐθέως τῇ ἀπολογίᾳ χρῶμαι, εἴ τε καὶ πολλάκις ἂν ὅλως ἀντιλογίαν εὔλογον χρήζει, σκεπόμενος τῇ τοῦ θεοῦ χάριτι ὡς ἐλεεινὸς εἰ μὲν καὶ ἀνάξιος ὤν, ἵνα μὴ τὸ θυμικὸν [1]) τῆς ψυχῆς μέρος διεγερθῇ ἐν ἐμοὶ ⟨καὶ⟩ διὰ τῆς ἀπροσεξίας καὶ ἐμπαθείας ἀποσφαλῶ τοῦ προσήκοντος, ἀλλὰ τῇ μακροθυμίᾳ διὰ τὴν κατὰ θεὸν ἀγάπην εἰς ὅπλον κατέχω, καθὼς ὁ ἀπόστολος λέγει, ὅτι ἐν πρᾳότητι παιδεύων τοὺς ἀντιδιατιθεμένους [2]). καὶ τοῦτο ποιῶ, ἐὰν μικρόν τι χρήζῃ λαλῆσαι. εἰ δὲ μή, οὐδὲ τοῦτο. ὅταν δὲ παρ' ἰδίως ἐν εἰρήνῃ βαθείᾳ τέως τὸ ὅσον γένωμαι, καὶ λογισμῶν καταστάσει ἐκ τῆς τῶν ἀντιλογιῶν φύρσης καὶ ἀκαταστασίας, χορηγοῦντος ἡμῖν τοῦ θεοῦ τὴν αὐτοῦ εἰρήνην, τότε εὐχὴ καὶ ἐρεύνη τῶν θείων γραφῶν. ὅταν ὅσα ἤκουσα ἐν τῷ συλλόγῳ τότε ἐν εἰρήνῃ τῶν λογισμῶν ἐάν τι εὕρηται ἄξιον διορθώσεως χρήζοντα, εὐθὺς διορθοῦμαι τοῦτο, ἐνδυναμοῦντος τὴν ἐλεεινότητάν μου αὐτοῦ τοῦ Κυρίου. εἰ δέ γε ἀπὸ ἄλλης τινὸς ἐνεργείας εἴτε συκοφαντίας ἢ ῥᾳδιουργίας γένηται, παράκλησιν τοῦτο καὶ κατὰ θεὸν ἡγοῦμαι καρπὸν τῇ τούτου σκεπόμενος χάριτι. εἰ δὲ πάλιν ἐξ ἀγνοίας γένηται ἀντιπιπτόντων πατέρων τινῶν ἢ ἀδελφῶν ἡμῶν καὶ χρήζῃ ἀπολογίαν ποιῶμαι, ταύτην οὐκ ἀπ' ἐμαυτοῦ, ἀλλ' ἐκ τῶν θείων γραφῶν εἰς ὠφέλειαν διὰ τὴν κατὰ θεὸν ἀγάπην ἐγγράφως ἐκτίθημι καὶ ἀποδίδωμι ταῦτα τοῖς ἐμὲ ἀνακρίνουσι καὶ ἑτέροις τοῖς θέλουσι τὴν ἀλήθειαν ἐπιγινώσκειν, τὸν θεῖον ἀπόστολον ὁ ἀνάξιος εἰς τοῦτο τὸ ὅσον τέως κατακολουθῶν· αὐτὸς γὰρ ὁ θεῖος

---

1) τῷ θυμικῷ cod. 2) II Tim. 2,25

ἀπόστολος ἐγγράφως ἀπολογεῖται λέγων ὅτι ἡ ἐμὴ ἀπολογία τοῖς ἐμὲ ἀνακρίνουσιν αὕτη ἐστὶν[1]) τὸ [ ] (л. 58[a]) εἰ δέ γε πάλιν ἐξ ἄλλης τινὸς ἐνεργείας ἡ ἀντίστασις γένηται καὶ χρῄζῃ ἀντιρητικὸν λόγον, ἐκ τῶν θείων πάλιν γραφῶν εἰς ἀληθινὴν γνῶσιν ἐκτίθημι γραφικῶς. πάλιν ἐρωτήσαντός με τινος, φοβοῦμαι εὐθὺς τέως εἰς τὴν ἀπόκρισιν δοῦναι καὶ πολλάκις ἕως καιροῦ ἀναβάλλομαι ἐρευνῶντα ἐκ τῶν θείων γραφῶν διὰ τὸν θεσμὸν τῆς κατὰ θεὸν ἀγάπης καὶ οὕτως ἐγγράφως ἐκτίθημι καὶ τῷ αἰτήσαντι ἀποδίδωμι εἰς δόξαν τοῦ δεδωκότος τὰς ἁγίας γραφάς. μᾶλλον δὲ ἐὰν καὶ ἕνι ἡ ἐρώτησις ἀναγκαία καὶ ἔχῃ κοινὴν τὴν ὠφέλειαν, ἔξω δὲ τῶν θείων γραφῶν πράττειν οὐκ ἀποτολμῶ τέως, ἵνα μὴ προσκρούσω θεῷ καὶ αὐτὸς ἵνα δῴη ἰσχὺν καὶ ὑπομονήν, ὡς καὶ πρότερον εἰς τοὺς ἐπερχομένους πειρασμούς, καθὼς καὶ ἐξ ἀρχῆς τῆς ἐπιστολῆς περὶ τοὺς πειρασμοὺς ἐμνημόνευσα. καὶ οὐχ ὡς κατηγορῶν τινα τῇ κακίᾳ φερόμενος ταῦτα λέγω (μὴ γένοιτο· οἶδα γάρ, ὅτι καὶ ἀλλαχοῦ ταῦτα προσέθηκα. διὰ τοῦτο οὐδὲ ἐξ ὀνόματός τινος λέγω εἰς τὸ φατριᾶσαι καὶ ἐμαυτὸν ἐκδικῆσαι), ἀλλ' ὡς δεῖξαι θέλων τὴν αἰτίαν τῶν παρακολουθούντων ἐν ἡμῖν πειρασμῶν. καὶ παραγγέλλω, μήπως οἱ πρὸς ἐμὲ τὸν ἀνάξιον ἀνακείμενοι ἐξ ἀγνοίας περιπέσωσι ἐν τοῖς τοιούτοις, καθὼς ὁ θεῖος ἀπόστολος Τιμοθέῳ παραγγέλλων ἔλεγεν ἐξ ὀνόματος προσέχειν ἀπό τινας καὶ τὴν αἰτίαν λέγων, ὅτι λίαν ἀντέστηκαν τοῖς ἡμετέροις λόγοις.[2]) καὶ πάλιν καὶ ἄλλῳ τρόπῳ· αὐτὸς γὰρ ὁ θεῖος ἀπόστολος μετὰ παρρησίας ὡς ἄξιός φανεροποιῶν, καὶ ἐν τούτῳ ἐξηγᾶται τοὺς αὐτοῦ διαφόρους πειρασμούς τε καὶ διωγμούς. καὶ αὐτὸς μὲν ὡς ἄξιος ἔλεγε ταῦτα, ἐγὼ δὲ ἀνάξιος ὢν καὶ ἐλεεινὸς οὐχ οὕτως, ἀλλὰ τῆς πίστεως καὶ ἀγάπης τέως τὰ ἰδιώματα τάξον ὡς καὶ νομίζω πράττειν. κέρδος ἡγοῦμαι ταῦτα εἰς ἐμαυτὸν καὶ πρὸς εἴδησιν μόνον καὶ μίμησιν ἐξηγούμενος, καθὼς καὶ προεῖπα τοῖς προσκειμένοις τῆς πρὸς ἐμὲ φιλίας τε καὶ ἀγάπης. λέγει ἐν τοῖς τοιούτοις ὁ Κύριος ὅτι οἱ ἐμὲ ἐδίωξαν καὶ ὑμᾶς διώξουσιν· οἱ τὸν λόγον μου ἐτήρησαν καὶ τὸν[3]) (л. 58[b]) ὑμέτερον τηρή-

[1]) I Кор. 9,3. [2]) II Тим. 4,15. [3]) Внизу л. 58[a] есть приписка: πάτερ μου ἅγιε καὶ θεοφορε μὴ ἐγκαταλείπῃς με τον ἁμαρτωλὸν καὶ ἀνάξιον δοῦλον καὶ μαθητὴν εἰ καὶ τὸν λόγον σου ποτε· [ ] μόνον τοῦτο ὅτι ἐκ πίστεως κατὰ τὴν χαναναίαν ἀκούσω καγὼ ὅτι ἡ πίστις σου σέσωκέ σε.

σουσι[1]). καὶ ὅσα τούτων ὅμοια. ἐν τούτῳ γὰρ ἡ ἀγάπη χαρακτηρίζεται ἐν τῷ μιμεῖσθαι τὸν ἀγαπώμενον. καὶ ταῦτα μὲν ἐπεξῆλθα ἀπὸ τῆς ἀρχῆς ἕως ὧδε διὰ τὸ τὴν εἴδησιν τῶν τοιούτων φανεροποιῆσαι σοι. ἕνεκεν τούτου μετὰ πάσης προθυμίας τε καὶ σπουδῆς πάντα διε[λθεῖν·] καὶ διὰ τῆς χάριτος τοῦ θεοῦ καὶ αὐτῶν καρπώσει τὰ μέγιστα. μηδὲν δὲ πρὸς τὴν μακροτονίαν τῶν λόγων ἢ τῶν ἐπιστολῶν ἀκηδειῶν προσέχεις, ἀλλὰ τὴν ὠφέλειαν ζήτει, καὶ εἰς τὸν σκοπὸν τοῦ φιλοπονήσαντος συνεργείᾳ θεοῦ πρὸς τὴν τοιαύτην προαίρεσιν. ἐγὼ γὰρ εἰ καὶ ἐλεινός, ἀλλά, καθὼς με γινώσκεις εἴ τι δωρήσεται ὁ θεός, πολλά, ὡς καὶ νομίζω, ἀγαπῶ εὐεργετεῖν τὸ ἀνθρώπινον γένος ἔν τε σαρκικοῖς ἔν τε πνευματικοῖς. καὶ διὰ τοῦτο ὅταν σαρκικὰ ἤτοι σωματικὰ τὰ εὐλόγως χρειόμενα ἀπορῶν μὴ ἔχων, οὐ δύναμαι στέργειν ὅλως μὴ εὐεργετεῖν τὸν πλησίον· καὶ ἕνεκεν τούτου τὰς θείας γραφὰς καὶ ὃν ὁ θεὸς ἐδωρήσατο λόγον ἀχορτάστως ἔχω τοῦ μεταδίδειν τὸν πλησίον διὰ τὴν τοῦ θεοῦ καὶ τὴν τοῦ πλησίον ἀγάπην καὶ ἐν τούτῳ εὐργετεῖν καὶ διὰ τοῦτο μακροτονίαν παρέχουν εἰς ὠφέλειαν συντείνων ψυχῶν. καὶ οὐκ ἔστιν ἐξ αὐτῶν ῥῆμα μικρὸν εἴτε μέγα μὴ ἔχοντα τὴν ὠφέλειαν. ἐγὼ δὲ τέως ὁ ἐλεεινός, τίποτες τοιοῦτον ἐὰν ἐξ ἐμοῦ παραδράμῃ διὰ τῆς λήθης εἰ καὶ τῶν λίαν μικροτάτων, οὕτως ἡγοῦμαι τέως τὸ ὅσον τὴν ἐμαυτοῦ ζωὴν ἀπολελοκέναι. εἰ δὲ τοῦτο εἰς ἐνθύμησίν μου ἔλθῃ, οὕτως ἔχω ὡς ὁ εὑρίσκων σκύλα πολλά, ἤτοι κοῦρσα, καθὼς γέγραπται. καὶ ταῦτα μὲν ἕως ὧδε.

Ἔγραψές με, περὶ τὰς ἑορτὰς ἵνα σε γράψω τὴν εἴδησιν. καὶ ὅμως τὴν ἀκρίβειαν τῶν ἑορτῶν τὸ πλεῖστον διὰ τὰς δεσποτικὰς νηστείας ἠκριβωσάμην, ἤτοι τετράδα καὶ παρασκευήν, καὶ τῶν λοιπῶν ἐνθέσμων νηστειῶν, ἵνα μὴ ἁπλῶς καταλύωνται προφάσει τῶν ἑορτῶν· καὶ γὰρ ὡς οἶδας καὶ ἐσὺ καὶ πάντες ὅσοι ἐν γνώσει τοὺς θείους κανόνας καὶ τὰς λοιπὰς ἁγίας γραφὰς ἐντυγχάνοντες καὶ ἐπιγι-(л. 59[a])νώσκουσι, ὅτι ἡ νηστεῖαις ταῦταις καὶ εἰς τοὺς θείους κανόνας τῶν ἁγίων ἀποστόλων καὶ εἰς τὰς ἁγίας συνόδους καὶ ἀλλαχοῦ εἰς διαφόρους γραφὰς ἐπιτρέπονται εἰς τοὺς χριστιανοὺς καὶ ὁμολογεῖσθαι καὶ ἐν ἀκριβείᾳ φυλάττεσθαι ταύτας. καὶ ὅσοι οὐ κρατοῦν

[1]) Іоанна 15,26.

ταύτας οὕτως, καθὼς ἁρμόζει, μετὰ τῶν αἱρετικῶν ὑπὸ τῶν θείων συνόδων καὶ ἁγίων πατέρων συναριθμοῦνται.

Τὰς δὲ ἑορτὰς περὶ φαγίου καὶ πίου καὶ λοιπῶν τῶν τοιούτων οὐδαμοῦ εἰς ἔνθεσμον εὑρήσεις γραφὴν παραδιδόμενον καὶ εἰς μὲν τοῦ νηστεύειν τελείως ὅλην τὴν ἡμέραν εἰς δεσποτικὰς ἑορτὰς ἀνάρμοστον εὑρίσκεται, τὸ δὲ ἐγκρατεύεσθαι εὐάρμοστον εὑρίσκεται πανταχόθεν ἐν ταῖς θείαις γραφαῖς. καὶ ὅμως ὥρισται ἐν ταῖς θείαις γραφαῖς, πῶς χρὴ ἑορτάζειν, καθὼς καὶ ὁ Θεολόγος Γρηγόριος καὶ αἱ λοιπαὶ θεῖαι γραφαί. καὶ οὕτως ἡμᾶς χρὴ εἰς τὰ τοιαῦτα φρονεῖν, καθὼς οὗτοι πάντες ἐδίδαξαν καὶ παρέδωκαν, πῶς δεῖ ἑορτάζειν χριστιανοῖς. τὰ δὲ τυπικὰ τῶν μεγάλων μοναστηρίων καὶ τὸ τοῦ Νηστευτοῦ λεγόμενον νομοκάνονον εἰς τὰ τοιαῦτα οὐ συμφωνοῦν τοὺς θείους κανόνας οὔτε ἄλλην θείαν γραφὴν ἔνθεσμον. καὶ ὅμως εἰς τὸ μέγα βιβλίον τῶν ἑρμηνειῶν εἰς τὸν νη' λόγον περὶ ἑορτῶν, μετὰ τὰς ἀφωρισμένας καὶ σημαδευμένας ἑορτάς. ἐξ(ετ)έθειται ἑρμηνεία τῶν εἴδησιν ἐχόντων ἑορτῶν, ὅπερ βιβλίον καὶ σὺ ἔχεις. ὁμοίως καὶ εἰς τὸ τυπικούτζικον ἐξετέθειται πᾶσα εἴδησις τῶν ἑορτῶν ἡ ἀκρίβεια. καθὼς δὲ καὶ ἀποδέδεικται περὶ τῶν τυπικῶν τῶν μεγάλων μοναστηρίων καὶ τὸ τοῦ Νηστευτοῦ λεγόμενον νομοκάνονον, ὅτι οὐ συμφωνοῦν εἰς τὰ τοιαῦτα τοὺς θείους κανόνας οὔτε ἄλλην ἁγίαν καὶ ἔνθεσμον γραφήν, διὰ τοῦτο οὐκ ἐτόλμησα εἰς τὸ τυπικούτζικον τὸ ἐξετέθη εὐμάρτυρον ἐκ τῶν θείων πατέρων θήσειν τὰς ἑορτὰς ἐξ αὐτῶν ἢ ἀπὸ ἄλλου τινός, ὅπως ἐν ἀληθείᾳ καὶ ἐκ τῶν θείων πατέρων μόνον ἔχει τὴν συναγωγήν. καὶ ἕνεκεν τοῦτο ἀκριβασάμενος ἐν ταῖς θείαις γραφαῖς, ἔπεσαν ἡ ἑορταῖς (Л. 59^b) εἰς τρεῖς τάξεις. καὶ ὅσαι μὲν εὕρηνται ἐν τῇ θείᾳ Γραφῇ ἑορταῖς ἔχοντα ἀναγνώσματα, ὁμοῦ καὶ πᾶσα πνοὴ καὶ εὐαγγέλιον καὶ σύναξιν περιεκτικὴν τῶν χριστιανῶν, συνηρμόσθησαν μὲ τὰς δεσποτικὰς ἑορτάς. τὰς δὲ ἑτέρας δύο διαφορὰς τῶν ἑορτῶν, τῶν τε μεσαίων καὶ τῶν μικρῶν, ἐδιδάχθημεν πάλιν καὶ τοῦτο ἐκ τῶν θείων γραφῶν ἀπό τε τῆς τετυπωμένης ἐν ἑκάστῃ ἑορτῇ ἀκολουθίας, καὶ ἐξ αὐτῶν τῶν τυπικῶν τοῦ τε Στουδίων καὶ τοῦ Ἁγίου Ὄρους τέως τὰ ἁρμόζοντα ἐν τοῖς τοιούτοις, πῶς διαφορὰς ἐκεῖ ἔχει περὶ τοῦ καμάτου καὶ τῶν τετυπωμένων ὡρῶν καὶ τῶν μετανοιῶν.

Πάλιν ἔγραψές με, περὶ τὸ λεγόμενον τὸ τοῦ Νηστευτοῦ νομοκάνονον νὰ σοι γράψω τὴν εἴδησιν. καὶ ἐν τούτῳ πολλὰ ἐξερευνήσας οὐχ εὑρίσκεται ἐν ἀληθείᾳ τὸ τίνος ἐστίν, ὅτι οὐ συμφωνοῦν ἐν τούτῳ ἕνα τὸ ἄλλο. ἄλλα μὲν ἐπιγράφουν οὕτως· νομοκάνονον Ἰωάννου πατριάρχου Κωνσταντινουπόλεως τοῦ Νηστευτοῦ. καὶ ἄλλα ἐπιγράφουν οὕτως· κανονικὸν Ἰωάννου μοναχοῦ καὶ διακόνου μαθητοῦ τοῦ ἁγίου Βασιλείου, οὗτινος ἡ ἐπωνυμία τέκνον τῆς ὑπακοῆς. εἰς ἄλλο πάλιν ἐνδείκνυται τὸν χαρακτῆρα, ὅτι γέροντός τινος ἔνι πρὸς μαθητὴν ἐν τῷ λέγειν, ὅτι ταῦτα γράφω σοι καὶ οὕτως ποίε⟨ι⟩, ἕως οὗ σε συντύχω ἀπὸ στόματος. καὶ πάλιν ἔχει εἴς τινα προλόγους δύο καὶ ἐκ τὸ λέγειν, ὅτι ταῦτα πάντα ἔμα-

Ἀπόδειξις, ὅτι τὸ λεγόμενον τοῦ Νηστευτοῦ νομοκάνονον οὐκ ἔστι τοῦ Νηστευτοῦ, ἀλλὰ γέροντός τινος γενόμενον πρὸς τὸν ἑαυτοῦ μαθητήν.

Ἔγραψάς μοι, πνευματικὲ ἀδελφὲ κύρι Λουκᾶ, ἵνα σοι γράψω εἴδησίν τινα περὶ τοῦ λεγομένου νομοκανόνου τοῦ Νηστευτοῦ· καὶ ἔσο εἰδώς, ὅτι πολλὰ περὶ τούτου ἐξερευνήσας οὐκ ἠδυνήθην εὑρεῖν ἐν ἀληθείᾳ, τίνος ἐστίν· οὐ γὰρ συμφωνοῦσιν ἀλλήλοις τὰ ἀντίγραφα, ἀλλά τινα μὲν τοιάνδε φέρουσιν τὴν ἐπιγραφήν· νομοκάνονον Ἰωάννου πατριάρχου Κωνσταντινουπόλεως τοῦ Νηστευτοῦ. ἄλλα· κανονικὸν Ἰωάννου μοναχοῦ καὶ διακόνου μαθητοῦ τοῦ ἁγίου Βασιλείου, οὗ ⟨ἡ⟩ ἐπωνυμία τέκνον ὑπακοῆς. ἐν ἑτέροις δὲ πάλιν δείκνυταί τις χαρακτήρ, ὅτι γέροντός ἐστι τινὸς πρὸς τὸν ἑαυτοῦ μαθητὴν τῷ [1]) λέγειν, ὅτι ταῦτά σοι γράφω καὶ οὕτως ποίει, ἕως ἂν σε συντύχω ἀπὸ στόματος, καὶ ἐκ τοῦ λέγειν, (л. 210^b) ὅτι ταῦτα πάντα ἔμαθον ἐκ τοῦ ἐμὲ [2]) ἀναθρέψαντος λύχνου τῆς διακρίσεως. τῷ τε ἔχειν προλόγους δύο καὶ

[1]) τὸ cod.
[2]) ἐεμὲ cod.

θον ἐκ τοῦ ἐμὲ ἀναθρέψαντος λύχνου τῆς διακρίσεως. καὶ ἀπὸ ἄλλα πολλὰ ἐνδείκνυται, ὅτι γέροντος ἔνι τινὸς πρὸς μαθητήν· ὁ γὰρ μέγας Ἰωάννης ὁ Νηστευτὴς ἐπὶ Ἰουστινιανοῦ βασιλέως ἦτον, ὁ δὲ ἅγιος Βασίλειος ἐπὶ Οὐάλεντος, καὶ ἀσύμφωνον ἔνι. καὶ ὅμως ἀναγκαζόμενος ἐκ τῆς ἀσυμφωνίας τῶν τοιούτων πάντων ἐξερεύνησα καὶ ηὗρα τὸν βίον τοῦ ἁγίου Ἰωάννου τοῦ Νηστευτοῦ, καὶ οὐδαμῶς φέρει, ὅτι τινὸς ἐγένετο μαθητὴς πώποτε, οὔτε σύγγραμμα οἱονδήποτε πώποτε ἔγραψε, μᾶλλον δὲ νομοκάνονον, εἴτε ὅλως περὶ μαθητῶν ἐξαγορεύσεις οἱωνδήποτε φέρει, οὔτε κἂν ἐπιστολὴν εἰς οἱονδήποτε μαθητήν, καθὼς εἰς τὰ τοιαῦτα νομοκάνονα λέγει, (Л. 60^{a}) ὅτι πλήθη πολλὰ ἀνδρῶν τε καὶ γυναικῶν εἶχεν εἰς μαθητείαν· καὶ ὅμως ὧδε εἰς τὰ τοιαῦτα βιβλία γυναικῶν μνημονεύει ἔχειν ἐξαγορίας, καὶ εἰς αὐτὰ πάλιν ἄντικρυς λέγει, ὅτι γυναικοῦ ἐξαγορίαν ὅλως εἰ μὴ πρὸς θάνατον μὴ δέξῃ. καὶ ὧδε πάλιν ἐμφαίνει γέρον⟨τα⟩ πρὸς μαθητήν. τέως καθὼς καὶ προείπαμεν, ὁ βίος τοῦ ἁγίου Ἰωάννου τοῦ Νηστευ-

ἐξ ἄλλων πολλῶν δείκνυται, ὅτι γέροντος ἔνι τινὸς πρὸς τὸν ἑαυτοῦ μαθητήν. ὁ γὰρ μέγας Ἰωάννης ὁ Νηστευτὴς ἐπὶ Ἰουστινιανοῦ τοῦ βασιλέως ἦν, ὁ δὲ μέγας Βασίλειος ἐπὶ Οὐάλεντος πολλῷ πρότερον αὐτοῦ βασιλεύσαντος. καὶ ὅλως ἔστιν ἀσύμφωνον. τοίνυν τοσαύτης ἀνισότητος ἐν τοῖς ἀντιγράφοις εὑρισκομένης, ἠναγκάσθην καὶ ἄκων ζητῆσαι καὶ ἐξερευνῆσαι τὸν βίον αὐτοῦ, ὃ καὶ πεποίηκα. ἀλλ' οὐδὲ ἐν τῷ βίῳ αὐτοῦ ἐμφέρεται, ὅτι γέγονέ τινος μαθητὴς ἢ οἱονδήποτε σύγγραμμα ἐξέθετο πώποτε, καὶ μάλιστα νομοκάνονον. ἀλλ' οὐδὲ περὶ ἐξαγορεύσεων μαθητῶν ὁπωσδήποτε περιέχει, ἢ ὅλως περὶ ἐπιστολῆς ὡς πρὸς μαθητήν τινα διαλαμβάνει, ὥσπερ εἰς τὰ λεγόμενα τοῦ Νηστευτοῦ νομοκάνονα εὕρηται, ὅτι πολλὰ πλήθη ἀνδρῶν τε καὶ γυναικῶν εἶχεν εἰς μαθητείαν· ἔν τισι δὲ τῶν ἀντιγράφων λέγει, ὅτι γυναικὸς ἐξαγορίαν εἰ μὴ πρὸς θάνατον μὴ δέξῃ, ὅπερ ἐστὶν ἄντικρυς τοῦτ' ἔστιν ἐναντίον τὸ ποτὲ μὲν ἐπιτρέπειν, ποτὲ δὲ ἀπαγορεύειν τὴν τῶν γυναικῶν ἐξαγορίαν. τὸ δὲ εἰπεῖν ἐνταῦθα, ὅτι εἰ μὴ πρὸς θάνατον μὴ δέξῃ λογισμὸν γυναικός, ἐμφαίνει πάλιν, ὡς εἴ-

τοῦ οὐδόλως ἐμφαίνει ποτὲ χαρακτῆρά τι τῶν τοιούτων, ἀλλὰ χαράκτης ἦτον τοῦ λογαρίου τῇ ἐπιστήμῃ καὶ ἡ ἔνθεος αὐτοῦ ἀρετὴ ἀνεβίβασεν τοῦτον εἰς τὸ τάγμα τῆς ἐκκλησίας καὶ οὕτως εἰς τὸν πατριαρχικὸν τῆς Κωνσταντινουπόλεως θρόνον. καὶ λεπτομερῶς γράφει περὶ τὰς ἐνθέου⟨ς⟩ αὐτοῦ πράξεις καὶ ἐλεημοσύνας. καὶ οὔτε μαθητής τινος ἐγένετο οὔτε σύγγραμμα οἱονδήποτε πεποίηκεν.

Πάλιν ἄλλο, ὅτι, καθὼς καὶ προείπαμεν, ὁ μέγας Ἰωάννης ὁ Νηστευτὴς ἐπὶ Ἰουστινιανοῦ βασιλέως τοῦ προτέρου ἐγένετο, ἡ δὲ ς' ἁγία σύνοδος ὑπὸ τοῦ ἐγγόνου Ἡρακλείου ἐν ὑστέροις ἐγένετο· καὶ εἰς τὸν αὐτῆς πρόλογον εἰς τὸν β' κανόνα λεπτομερῶς ἀπὸ τοὺς κανόνας τῶν ἁγίων ἀποστόλων καὶ καθεξῆς ὅλας τὰς συνόδους οἰκουμενικάς τε καὶ τοπικάς, ὁμοίως καὶ τοὺς κανόνας ἑκάστης συνόδου τὸν ἀριθμὸν ἐντιθεὶς καὶ αὐτὰς τὰς ἐπιστολὰς τῶν ἁγίων πατέρων πάντας, ὅσας ἔχουσι θείους κανόνας μικρὰς καὶ μεγάλας, ὁμοίως καὶ διὰ μικρὰ τελείως πάθη τινὰς τῶν πατέρων ἐπιστολάς, καθὼς ἡ τοῦ ἁγίου Ἀθα-

πομεν ἄνωθεν, γέροντος εἶναι πρὸς μαθητήν. Καὶ τέως ἀποδέδεικται ἔκ τε τοῦ βίου αὐτοῦ καὶ ἐκ τῶν λοιπῶν μὴ εἶναι τοῦ Νηστευτοῦ τὸ εἰρημένον νομοκάνονον. αὐτὸς δὲ ὁ Νηστευτὴς τῇ ἐπιστήμῃ τοῦ λογαρίου χαράκτης ἐτύγχανεν ὤν, ἡ δὲ ἔνθεος αὐτοῦ ἀρετὴ ἀνεβίβασεν αὐτὸν εἰς τὸ τάγμα τῆς ἐκκλησίας καὶ εἰς τὸν πατριαρχικὸν τῆς Κωνσταντινουπόλεως θρόνον ὕψωσε· καὶ οὔτε μαθητής τινος γέγονε οὔτε οἱονδήποτε σύγγραμμα ἐποίησεν.

Καὶ κατ' ἄλλο δὲ πάλιν ἔστι τοῦτο πιστώσασθαι, ὅτι ὁ μέγας οὗτος Ἰωάννης ὁ Νηστευτὴς ἐπὶ Ἰουστινιανοῦ βασιλέως ὡς φθάσαντες εἴπομεν γέγονεν, ἡ δὲ ἕκτη ἁγία σύνοδος ἐπί τοῦ ἐγγόνου Ἡρακλείου πολλῷ ὕστερον ἐγένετο· ἐν δὲ τῷ δευτέρῳ κεφαλαίῳ τῆς τοιαύτης συνόδου ἀπό τε τῶν κανόνων τῶν ἁγίων ἀποστόλων καὶ καθεξῆς πασῶν τῶν συνόδων, τῶν τε οἰκουμενικῶν καὶ τῶν τοπικῶν, καὶ τὸν [1] ἀριθμὸν τῶν κεφαλαίων ἑκάστης συνόδου λεπτομερῶς ἐμφέρεται, πρὸς δὲ καὶ πάσας τὰς τῶν ἁγίων πατέρων ἐπιστολάς, ὅσαι δηλαδὴ θείους κανόνας ἔχουσιν, ἄν τε μικραὶ ἄν τε μείζονες εἶεν, ὥστε καὶ ἡ τοῦ μεγά-

[1]) τῶν cod.

νασίου πρὸς Ἀμοῦν μονάζοντα περὶ τὴν νυκτερινὴν ῥύσιν τοῦ σώματος ἔγραφεν, ὡσαύτως καὶ ἑτέρων πατέρων τινὰς λέξεις μικράς τινας· πάντα ἐν ἀκριβείᾳ εἰς τοῦτο τὸ κεφάλαιον ἔγραφεν ἡ ἁγία οἰκουμενικὴ σύνοδος αὕτη καὶ συνηρμόσατο, καὶ εἰς πλειοτέραν ἀσφάλειαν ταῦτα προσέθηκεν, καὶ οὐδαμοῦ ἐμνημόνευσεν, ὅτι Ἰωάννου πατριάρχου Κωνσταντινουπόλεως τοῦ Νηστευτοῦ. (л. 60^{b}) ὥσπερ λέγει καὶ δίχα τῶν οἰκουμενικῶν συνόδων ἑτέρων πατριαρχῶν Κωνσταντινουπόλεως ἐξ ὀνόματος συγγράμματα περὶ ὑποθέσεων τινῶν μερικῶν καὶ ὀλιγοστῶν, πόσῳ γε μᾶλλον τοιούτων τελείων καὶ περιεκτικὰς ἔχων τὰς ὑποθέσεις εἰς πάντα ἄνθρωπον, καὶ τοιούτου ἀνδρὸς καὶ μάλιστα πατριάρχου Κωνσταντινουπόλεως καὶ ἐν τῇ τοσαύτῃ ἀρετῇ διαπρέποντος εἶχεν ἀθετῆσαι ἡ ἁγία σύνοδος ἡ ἀπὸ θείου πνεύματος συναρμόσασα πάντα. ἀλλὰ μᾶλλον πρὸς περισσοτέραν ἀσφάλειαν καὶ φόβου τῶν ψευδῶς ἐκτιθεμένων ἀπό τινων κατὰ τὰς ἰδίας ἐπιθυμίας, μετὰ τὸ ἀριθμῆσαι πάντας τοὺς θείους κανόνας καὶ τὰς ἁγίας συνόδους ὁμοίως καὶ τὰς κανονικὰς ἐπιστολὰς ἐν ἀκριβείᾳ πάντα, ἐπιφέρει οὕτως καὶ λέγει μηδενὶ ἐξεῖναι τοὺς προδη-

λου Ἀθανασίου γραφεῖσα πρὸς Ἀμμοῦν μονάζοντα περὶ τῆς νυκτερινῆς ὀνειρώξεως καὶ τῆς ἐντεῦθεν ῥεύ(л. 211^{a})σεως. καὶ ἄλλας δέ τινας ῥήσεις πατρικὰς περὶ ἐλαχίστων ῥηθείσας πραγμάτων ἡ ἁγία αὕτη ἕκτη σύνοδος ἀνετάξατο εἰς περισσοτέραν ἀσφάλειαν, καὶ οὐδαμοῦ ἐδήλωσεν, ὅτι τόδε τὸ σύγγραμμα ἢ γοῦν τὸ ῥῆμα Ἰωάννου ⟨ἐστὶν⟩ πατριάρχου Κωνσταντινουπόλεως τοῦ Νηστευτοῦ, ὥσπερ ἀμέλει λέγει ἑτέρων πατριαρχῶν Κωνσταντινουπολιτῶν ὀνόματα ἐκτὸς τῶν συνόδων καὶ τὰ τούτων συγγράμματα καὶ ἔσθ' ὅτε περὶ βραχυτάτων τινῶν καὶ μερικῶν ὑποθέσεων. εἰ δὲ ταῦτα οὕτως, οὐ πολλῷ μᾶλλον, εἴ γε ἦν τοιοῦτον περιεκτικὸν καὶ λυσιτελὲς ἔγγραφον καὶ τοιούτου ἐπισήμου ἀνδρὸς ἀπό τε τῆς καθέδρας ἀπο τε τῆς ἀρετῆς, οὐκ ἔδει καὶ περὶ τούτου ἀνατάξασθαι καὶ ποσῶς δηλῶσαι τὴν ἁγίαν ταύτην σύνοδον τὴν τῷ θείῳ πνεύματι κινηθεῖσαν καὶ πάντα καλῶς συναρμόσασαν· ἥτις δὴ σύνοδος μετὰ τὸ πάντα ἀνακεφαλαιῶσαι καὶ καλῶς περὶ τῶν δοκούντων διαστείλασθαι ἐπάγει λέγων· μηδενὶ ἐξεῖναι τοὺς προδηλωθέντας παραχα-

λωθέντας παραχαράττειν κανόνας ἢ ἀθετεῖν, ἢ ἑτέρους παρὰ τοὺς προκειμένους παραδέχεσθαι κανόνας ψευδεπιγράφους ὑπό τινων συντεθέντας τῶν τὴν ἀλήθειαν καπηλεύειν ἐπιχειρησάντων. εἰ δέ τις ἄλλο(ν) κανόνα τινὰ τῶν εἰρημένων καινοτομῶν ἢ ἀνατρέπειν ἐπιχειρῶν ὑπεύθυνος ἔσται κατὰ τὸν τοιοῦτον κανόνα, ὡς αὐτὸς διαγορεύει τὴν ἐπιτιμίαν δεχόμενος. καὶ αὕτη ἡ ἁγία σύνοδος ὡμμάτωσεν ἡμᾶς καὶ ἤνοιξε θύραν τοῦ γνῶναι τῶν τοιούτων τὴν εἴδησιν. πάλιν ἐν ὑστέροις καιροῖς ἐπὶ Ῥωμανοῦ τοῦ γέροντος καὶ Κωνσταντίνου ἡ γενομένη σύνοδος τῆς ἑνώσεως ὑστέρα πάντων τῶν θείων πατέρων καὶ διδασκάλων καὶ διὰ τῆς χάριτος τοῦ θεοῦ ὀρθοδόξων βασιλέων Ῥωμανοῦ τοῦ γέροντος καὶ Κωνσταντίνου καὶ ὀρθοδόξων ὁμοίως πατριαρχῶν μετὰ καὶ ἑτέρων πολλῶν τοῦ ἐκκλησιαστικοῦ συστήματος ἅμα καὶ λαϊκῶν σοφῶν τε καὶ γνωστικωτάτων, καὶ ὅμως οὐκ ἐν γωνίᾳ μιᾷ εἴτε εἰς μικράν τινα πόλιν καὶ οὐδαμινὴν γενομένη, ἀλλ' εἰς αὐτὴν τὴν βασιλεύουσαν τὴν Κωνσταντινουπόλεως. καὶ τότες ὅταν

ράττειν κανόνας ἢ ἀθετεῖν, ἢ ἑτέρους παρὰ τοὺς κειμένους παραδέχεσθαι ψευδεπιγράφους ὑπό τινων συντεθέντας τῶν τὴν ἀλήθειαν καπηλεύειν ἐπιχειρησάντων· εἰ δέ τις κανόνα τῶν εἰρημένων καινοτομῶν ἢ ἀνατρέπειν ἐπιχειρῶν ὑπεύθυνος ἔσται κατὰ τὸν τοιοῦτον κανόνα, ὡς αὐτὸς διαγορεύει, τὴν ἐπιτιμίαν δεχόμενος. καὶ οὕτω μὲν ἡ τοιαύτη σύνοδος ὡμμάτωσεν ἡμᾶς καὶ ἤνοιξε θύραν τοῦ γνῶναι τῶν τοιούτων τὴν εἴδησιν. ἐν ὑστέροις δὲ καιροῖς ἡ γενομένη σύνοδος τῆς ἑνώσεως ἐπὶ Ῥωμανοῦ τοῦ γέροντος καὶ Κωνσταντίνου τῶν ὀρθοδόξων βασιλέων καὶ τοῦ εὐσεβοῦς καὶ ἐναρέτου πατριάρχου καὶ ἄλλων πολλῶν τοῦ τῆς ἐκκλησίας πληρώματος ἅμα λαϊκῶν τε σοφῶν καὶ γνωστικῶν, οὐκ ἐν γωνίᾳ που καὶ ἐν παραβύστῳ, ἀλλ' ἐν ταύτῃ τῇ βασιλευούσῃ τῶν πόλεων Νέᾳ Ῥώμῃ, ἡνίκα πάντων τῶν σχισμάτων καθαριεύουσα ἦν ἡ τοῦ θεοῦ ἐκκλησία, τάδε πως ἐν τῷ τέλει διέξεισιν, ὅτι πάν-

ἐκ πάντων αἱρέσεων καὶ σχισ-(л. 61ª)μάτων καθαρεύουσα, τότε ἡ σύνοδος αὕτη ἐγένετο τῆς ἑνώσεως. ἐν τῷ τέλει δὲ τῶν αὐτῆς διατάξεων κατὰ τάξιν ἐπιφέρει τοὺς ἀναθεματισμοὺς καὶ ἐκεῖ ἐπιφέρει καὶ ἐπισφραγίζει καὶ τοῦτο λέγων, ὅτι ἅπαντα τὰ παρὰ τὴν ἐκκλησιαστικὴν παράδοσιν καὶ τὴν διδασκαλίαν καὶ ὑποτύπωσιν τῶν ἁγίων καὶ ἀοιδίμων πατέρων καινοτομηθέντα καὶ πραχθέντα ἢ μετὰ τοῦτο πραχθησόμενα ἀνάθεμα. καὶ μεθέτερα· ὅτι τοῖς ἐν καταφρονήσει τιθεμένοις τοὺς ἱεροὺς καὶ θείους κανόνας τῶν μακαρίων πατέρων ἡμῶν, οἳ καὶ τὴν ἁγίαν ἐκκλησίαν ὑπεριδοῦσι καὶ ὅλην τὴν χριστιανικὴν πολιτείαν κοσμοῦντες πρὸς θείαν ὁδηγοῦσιν εὐλάβειαν, ἀνάθεμα[1]). ἰδοὺ καὶ αὕτη ἡ σύνοδος πολλῶν πατέρων συναγομένων πάντας τὰς ματαίας ὑπολήψεις ἀνέτρεψεν ὑπὸ τῶν δύο τούτων ἀναθεματισμῶν. καὶ μᾶλλον ὅτι ἐν ὑστέροις τελείως τῶν θείων πατέρων ἐγένετο. περὶ δὲ τῶν ἐπιτιμιῶν τὸν κατὰ

τα τὰ παρὰ τὴν ἐκκλησιαστικὴν παράδοσιν καὶ τὴν διδασκαλίαν καὶ ὑποτύπωσιν τῶν ἁγίων καὶ ἀοιδίμων πατέρων καινοτομηθέντα καὶ πραχθέντα ἢ μετὰ τοῦτο πραχθησόμενα ἀνάθεμα. καὶ πάλιν· τοῖς ἐν καταφρονήσει τιθεμένοις τοὺς ἱεροὺς καὶ θείους κανόνας τῶν μακαρίων πατέρων ἡμῶν, οἳ καὶ τὴν ἁγίαν ἐκκλησίαν ὑπερείδουσι καὶ ὅλην τὴν χριστιανικὴν πολιτείαν κοσμοῦντες πρὸς θείαν ὁδηγοῦσιν εὐλάβειαν, ἀνάθεμα[1]). ἰδοὺ καὶ αὕτη ἡ σύνοδος ὑπὸ πολλῶν πατέρων ἐν ὑστέροις καιροῖς ἐν ἁγίῳ πνεύματι κινηθεῖσα διὰ τῶν δύο τούτων ἀναθεματισμῶν πάσας τὰς ματαίας ὑπολήψεις ἀνέτρεψε, περὶ δὲ τῶν ἐπιτιμίων τάς τε θείας συ-

[1]) Ралли Σύντ., V 9—10 (эти отрывки обозначены въ нѣкоторыхъ изданіяхъ, какъ правила δ' и ζ').

τῆς πορνείας χρόνον τῶν θείων πατέρων, συνόδων καὶ τοῦ μεγάλου Βασιλείου ἐξηκολούθησεν, ὅτι περὶ πορνικῶν αἰτιῶν ἡ ὑπόθεσις ἦν, καὶ οὔτε Νηστευτοῦ ἐμνημόνευσεν καὶ ἐξηκολούθησεν, .

νό(л. 211[b])δους καὶ τὸν μέγαν Βασίλειον ἐξηκολούθησεν, ὅτι περὶ πορνικῶν αἰτιῶν ἡ ὑπόθεσις ἦν· περὶ δὲ τοῦ Νηστευτοῦ οὔτε ἐμνημόνευσεν ὅλως οὔτε ἐξηκολούθησεν.

οὔτε ἄλλου τινος, ἀλλὰ τῶν περιεκτικῶν ἁγίων καὶ θείων συνόδων τῶν ἐν ἀληθείᾳ ἐν ἁγίῳ πνεύματι συνηγμένων. καὶ τοῦ μεγάλου Βασιλείου. καὶ ταῦτα πάντα ἐρευνήσας, πνευματικὲ ἀδελφέ, καὶ φοβηθεὶς τὴν ἐγκεκρυμμένην πλάνην, εἴ τι ὁ θεὸς ἐδωρήσατο, συνῆψα τὰ τῆς προειρημένης βίβλου τοῦ Νηστευτοῦ λεγομένης τὰ ἁρμόζοντα τέως τὸ ὅσον μετὰ καὶ ἑρμηνείας τῶν δυσνοήτων τῆς αὐτῆς βίβλου καὶ ἑτέρων ἑρμηνειῶν τινων συμβαλλομένων τῶν ἐπιτιμιῶν τέως τῶν διαφόρων ἁμαρτημάτων καὶ τῆς μετανοίας αὐτῆς καὶ κρατήσεως καὶ συγχωρήσεως τῶν θείων καὶ ἀχράντων μυστηρίων. καὶ πάλιν ὅσα τῶν ἁγίων πατέρων ἐν εἰδήσει τοιαύτῃ ἐνέτυχα, συναρμόσας δὲ καὶ ὁμοῦ τεθεικὼς ταῦτα πρὸς τὸ τέλος τοῦ βιβλίου τῶν ἑρμηνειῶν τῶν ἐντολῶν τοῦ Κυρίου ἐθήκαμεν (л. 61[b]) μετὰ τὸ τελειωθῆναι τὸν ξγ' λόγον καὶ τὰ ἐν αὐτῷ πάντα προκείμενα· ὅπερ (ταύτην τὴν βίβλον καὶ ἐσὺ ἔχεις) καὶ ὧδε εἰς τὸν ἅγιον Συμεὼν τὸν Θαυματουργὸν ἔνι. ἀλλαχοῦ δὲ τὸ νομοκάνονον τοῦτο πλατυτέρως ἐξεδόθη.

Περὶ δὲ βρώσεως καὶ πόσεως τὰ ἐν τῇ βίβλου τοῦ Νηστευτοῦ ἐγκείμενα οὐ συμφωνοῦσιν ὅλως τοῖς θείοις κανόσι, καθὼς καὶ ἄνωθεν εἴπαμεν. καὶ διὰ τοῦτο οὐκ ἐτόλμησα θήσειν τὰς ἑορτὰς ἐξ αὐτὸ τὸ βιβλίον εἰς τὸ τυπικούτζικον τὸ ἔνι εὐμάρτυρον ἐκ τῶν ἁγίων πατέρων.

Ἀλλ' ἐνταῦθα μὲν οὕτως· περὶ δὲ βρώσεως καὶ πόσεως οὐ συμφωνοῦσι τὰ τῇ βίβλῳ τοῦ Νηστευτοῦ ἐγκείμενα τοῖς θείοις κανόσι καὶ διὰ τοῦτο οὐκ ἐτόλμησα θεῖναι τὰς ἑορτὰς ἐξ αὐτοῦ εἰς τὸ τυπικούτζικον, ὅπερ ἔνι ἐμμάρτυρον ἐκ τῶν ἁγίων πατέρων.

Ταῦτα δέ, πνευματικέ μου ἀδελφέ, περὶ ὧν ἔγραψές με ὑποθέσεων ἐρευνήσας ἔγραψά σε, ὅσα ἐνέτυχον ἐκ τῶν θείων γραφῶν. ἐὰν δέ τινα ἕτερον ἔχουν σκοπὸν τὸν μὴ γινώσκοντά με, εἴ τις ἄλλος γι-

νώσκων ἐκ θείου καὶ προσκυνητοῦ πνεύματος, τὸ κρεῖττον ἡμᾶς ὠφελήσει ὡς ἰδιώτας. διά τοι τοῦτο εἰς πᾶν, ὅ τι λόγῳ ἢ γράμματι εὕρητε δυσδιάκριτον, οὐκ ἀποτολμῶ διακρῖναι τοῦτο ἢ ἀποφαίνεσθαι, ἀλλ' ἑτέροις τοῦτο παραχωρῶ. ἔξω παντὸς ἐπικειμένου κινδύνου ἐμαυτὸν ἐλεύθερον εἶναι σπουδάζω τῇ χάριτι τοῦ Χριστοῦ μόνον τὴν εἴδησιν φανεροποιῶν. οὕτως καὶ ἐσὺ ποιῶν οὐκ ἀποσφαλεῖς τοῦ προσήκοντος διὰ τῆς χάριτος τοῦ Χριστοῦ. ἡμεῖς τοίνυν εἴ τι καὶ ἐνετύχαμεν ἐν διαφόροις βίβλοις εἴτε εἰς τὰ τυπικὰ τῶν μοναστηρίων, εἴτε ἐν τῇ προειρημένῃ βίβλῳ τῇ λεγομένῃ τοῦ Νηστευτοῦ, εἴτε ἄλλου τινὸς τέως τῶν ἐχόντων εἴδησιν πάντες καὶ ἀπὸ διαφόρων θείων γραφῶν καὶ κανόνων ἐνθέσμων καὶ νόμων πολιτικῶν, εἴτε περὶ βρώσεως καὶ πόσεως, εἴτε περὶ ἑορτῶν καὶ νηστειῶν, εἴτε ἐν ἄλλῃ οἱᾳδήποτε πράξει, πάντα συνάψαντες διὰ τῆς χάριτος τοῦ Κυρίου καὶ τὸν θεσμὸν ἐξακολουθοῦντες τῆς θείας ἀγάπης εἰς τὸ παγκόσμιον καὶ περιεκτικὸν βιβλίον τῶν ἑρμηνειῶν τῶν ἐντολῶν τοῦ Κυρίου ἐθήκαμεν πάντα. τὴν δὲ ἀκρίβειαν πᾶσαν εἰς τὸ προλεχθὲν τυπικούτζικον ἐξεθέμεθα. ἕκαστος οὖν ἐντυγχάνων ταῦτα πάντα, εἴ τι καὶ ἁρμόζει, τοῦτο πρὸς σωτηρίαν ψυχῆς καὶ ἀρέσκον θεῷ διαπράξει καὶ ἡμῖν ὑπερευχόμενος

(л. 62[a]) Ἡμᾶς δὲ τοῦτο ἁρμόζει, καθὼς ὁ ἀπόστολος Τιμοθέῳ γράφων ὥρισε ⟨σε⟩αὐτὸν ἁγνὸν τήρει καὶ μὴ κοινώνει ἁμαρτίας ἀλλοτρίας[2]). καὶ ἐν πραότητι παιδεύων τοὺς ἀντιδιατιθεμένους[3]). καὶ τό· εἴ τις φιλόνεικος εἶναι, ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν οὐδὲ αἱ ἐκκλησίαι τοῦ θεοῦ[4]). καὶ τό· εἴ τις ἑτέρῳ διδασκαλεῖ καὶ μὴ προσέρ-

Τὸ λοιπὸν οὖν ἐκεῖνο ἡμῖν ἁρμόζει, ὅπερ ὁ ἀπόστολος Τιμοθέῳ [1]) ἐπέστελλε, σεαυτὸν λέγων ἁγνὸν τήρει καὶ μὴ κοινώνει ἁμαρτίαις ἀλλοτρίαις[2]). καὶ τό· ἐν πραΰτητι παιδεύων τοὺς ἀντιδιατιθεμένους [3]). εἰ δέ τις φιλόνεικος εἶναι δοκεῖ, ἡμεῖς τοιαύτην συνήθειαν οὐκ ἔχομεν οὐδὲ αἱ ἐκκλησίαι τοῦ θεοῦ [4]). καὶ τό· εἴ τις ἑτεροδιδα-

[1]) cod. переправл. изъ Τιμόθεος. [2]) I Тим. 5,22. [3]) II Тим. 2,25.
[4]) I Кор. 11,16.

χεται ὑγιαίνουσι λόγοις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῇ κατ' εὐσέβειαν, διδασκαλίᾳ, τετύφωται μηδὲν ἐπιστάμενος, ἀλλὰ νοσῶν περὶ ζητήσεις καὶ λογομαχίας, ἐξ ὧν γίνεται φθόνος, ἔρις, βλασφημίαι, ὑπόνοιαι πονηραί, διαπαρατριβαὶ διεφθαρμένων ἀνθρώπων τὸν νοῦν καὶ ἀποστερημένων τῆς ἀληθείας, νομιζόντων πορισμὸν εἶναι τὴν εὐσέβειαν. ἀφίστασο ἀπὸ τῶν τοιούτων· ἔστι δὲ πορισμὸς μέγας εὐσέβεια μετὰ αὐταρκείας[1])..

Ταῦτα πάντα, πνευματικὲ ἀδελφέ, ἀπὸ ἄνωθεν καὶ ἐξ ἀρχῆς τῆς ἐπιστολῆς ὁμοίως καὶ τῶν λοιπῶν διαφόρων ἐπιστολῶν καὶ λοιπῶν συγγραμμάτων ἑτέρων καὶ αὐτοῦ τοῦ μεγάλου βιβλίου τῶν ἑρμηνειῶν νουνεχῶς πάντα καὶ φιλοπόνως ἀενάως διέρχου, ὡς ἐκ τῆς θείας προνοίας τὴν ἐνέργειαν διὰ τῆς χάριτος τοῦ θεοῦ ἔχοντα καὶ οὐκ ἀπὸ ἐμῆς σπουδῆς τοῦ ἀναξίου μοναχοῦ Νίκου. μετάνοιαν οἱ μετ' ἐμὲ ἀδελφοὶ καὶ τοὺς ἐν σοὶ ἀδελφοὺς μετάνοιαν ἐξ ἐμοῦ.

σκαλεῖ καὶ μὴ προσέρχεται ὑγιαίνουσι λόγοις τοῦ κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ καὶ τῇ κατ' εὐσέβειαν διδασκαλίᾳ, τετύφωται μηδὲν ἐπιστάμενος, ἀλλὰ νοσῶν περὶ ζητήσεις καὶ λογομαχίας, ἐξ ὧν γίνεται φθόνος, ἔρις, βλασφημίαι, ὑπόνοιαι πονηραί, διαπαρατριβαὶ ἀνθρώπων διεφθαρμένων τὸν νοῦν καὶ ἀπεστερημένων τῆς ἀληθείας, νομιζόντων πορισμὸν εἶναι τὴν εὐσέβειαν. ἀφίστασο ἀπὸ τῶν τοιούτων· ἔστι δὲ πορισμὸς μέγας ἡ εὐσέβεια μετ' αὐταρκείας[1]). Ταῦτα τοίνυν μελέτα, ἐν τούτοις ἀδολέσχει ὑπερευχόμενος καὶ τῆς ἡμῶν ἀθλιότητος (οὐ γὰρ ἡμέτερα ταῦτα οὐδὲ τῆς ἡμετέρας διανοίας γεώργια, ἀλλ' ἅπερ ἡ χάρις ἐνέπνευσεν) ἐν αὐτῷ Χριστῷ τῷ κυρίῳ ἡμῶν, ᾧ πρέπει δόξα εἰς τοὺς αἰῶνας ἀμήν.

---

[1]) I Тим. VI 3—5.

В. Слово 31-е.

λα'. *Τοῦ αὐτοῦ εἰς τὸν αὐτὸν κῦριν Βασίλειον, ὅτι καλὸν ἡ ἔμπρακτος διδασκαλία· καὶ ὅτι εἰς οἱονδήποτε πάθος μολυνθῇ τις, οὐκέτι ἱερατεύει· καὶ περὶ τῆς τυρινῆς τὴν ἑβδομάδα πῶς ἐτυπώθη· ἔτι καὶ περὶ τοῦ θρόνου τοῦ πατριαρχείου Ἀντιοχείας.*

Πνευματικέ μου ἀδελφὲ κύρι Βασίλει. καθὼς ἡ κατὰ θεὸν ἀγάπη σου ἠτήσατο καὶ ἐπέταξέν με γράψαι καὶ ἀποστεῖλαί σοι τινῶν κεφαλαίων τὴν εἴδησιν, ἅτινα καὶ ἀπὸ στόματος εἶπες με. καὶ ἐγὼ ὅμως καθὼς καὶ ἀπ' ἀρχῆς καὶ ἐσὺ καὶ ὁ κοινὸς ἡμῶν πατὴρ ὁ πατήρ σου οἴδατε, ὅτι πολλὰ ἠγάπουν συνδιαλέγεσθαι τὴν ἀγάπην σας καὶ συνομιλεῖν ἀπὸ πανταχόθεν, ἐπηρείᾳ δὲ τοῦ μισοκάλου ἀπετύχησεν πρὸς ἡμᾶς τῆς τοιαύτης ὠφελείας ἰδοὺ πλέον τοῦ ἐνιαυτοῦ. καὶ ἐπειδὴ ὁ πανοικτίρμων θεὸς διὰ πρεσβειῶν τῆς παναχράντου θεοτόκου καὶ τοῦ ἁγίου κοινοῦ ἡμῶν αὐθέντου Συμεὼν τοῦ μεγάλου θαυματουργοῦ οὐκ εἴασεν τὴν ἐπήρειαν τοῦ μισοκάλου, ἡ κατὰ θεὸν ἀγάπη σας ἐπὶ πλεῖον προκόψαι, ἀλλὰ καὶ πρὸς ἐμὲ τὸν ἀνάξιον τὰ τῆς ἀγάπης ἐνδείξασθαι διὰ τῆς αὐτοψή σου ὁμιλίας· καὶ πάλιν τοῦ κοινοῦ ἡμῶν πατρὸς καὶ πατρός σου διὰ γραμμάτου. τοσοῦτον δὲ ἐχάρην εἰς τοῦτο, ὡς ὁ εὑρίσκων σκῦλα πολλά. καὶ πρῶτον μὲν ὑπὸ τῆς κατὰ θεὸν ἀγάπης κινούμενος, καθὼς εἴρηται, ὅτι τὰ μυστήριά μου τοῖς ἐμοῖς καὶ τοῖς υἱοῖς τοῦ οἴκου μου. οὕτως κἀγὼ ὁ ἀνάξιος φανεροποιῶ πάντα· καὶ ὅμως τέως τὰ ἤργησαν, ἀφοῦ τὸ σκάνδαλον γέγονεν, καὶ οὐκ ἐφανέρωσα τὴν κατὰ θεὸν ἀγάπην σας· τὰ γὰρ πρώην μικρὸν μικρὸν τέως τὸ ὅσον ἐφανέρωσα τὴν ἀγάπην σας. ἀρτίως δὲ φανεροποιῶ σας καὶ τοῦτο. ὅταν ὁ ἁγιώτατος ἡμῶν δεσπότης ὁ πατριάρχης προσεκαλέσατό με, ὅμως ὡς ἦν ἀκμὴν νεοπῶς, οὐκ ἐγίνωσκεν τὰ κατ' ἐμὲ ἐν ἀκριβείᾳ οὔτε τὴν ἐμὴν γνώμην. καὶ πρῶτον μὲν ἐλάλησέν με διὰ χειροτονίαν καὶ ἀποστείλειν εἰς τὸ Βαγδᾶ. ἐγὼ δὲ κατ' ἐμαυτοῦ εἰδὼς ἀσφαλῶς, ὅτι ἀνένδεκτός εἰμι εἰς χειροτονίαν, ἀμερίμνως εἶχον εἰς τοῦτο. ἔπειτα πάλιν μεταβληθεὶς μετὰ συμβουλῆς τῶν ἐκκλησιαστικῶν ἀρχόντων καὶ μητροπολιτῶν καὶ ἐπισκόπων ὁμοίως καὶ λαϊκῶν καὶ παντὸς τοῦ συστήματος, καθὼς καὶ τότες ἔλεγέν με, ἠβουλήθη τῇ τοῦ πρεσβυτέρου

χειροτονίᾳ καὶ τὴν ἐγχείρησιν τῶν ἔξω πάντων μοναστηρίων καὶ τῶν ἔσω τῆς πόλεως καὶ αὐτῶν τῶν γυναικείων καὶ πάντων ὁμοῦ, καὶ ἐπολέμησέν με τότες πολλὰ καὶ πάντες οἱ ἀρχιερεῖς καὶ οἱ λοιποί, ὅπως ἐπακούσω εἰς τοῦτο. ἐγὼ δὲ συνειδὼς πάντα καὶ τὸ οἰκεῖον συνειδὸς ἐρευνήσας, τὸ μέλλω μόνον μετὰ θεὸν ἔχειν κριτήν· καὶ τὸ ἀ(л. 219ª)ναγκαιότερον κρίνας, καθὼς ὁ θεὸς ἔδωκεν γνῶσιν, οἰκονομήθησαν τὰ ἀμφότερα, καὶ τὸ μὲν ἱερατεῖον ὅλως ὡς μὴ λαγχάνοντά με οὐκ ἐδεξάμην, τὴν δὲ δευτέραν ἐγχείρησιν οὕτως μὲν ὡς καὶ ἐπολεμοῦσαν οὐκ ἐδεξάμην διὰ τὴν τοῦ ἀρχιμανδρίτου ἔχοντα τάξιν τὴν τῶν ἔξω μοναστηρίων· τὴν τῶν ἔσω δὲ πάλιν οὐκ ἔχω πῶς εἰπεῖν, τέως πάντων ὁμοῦ τὴν ἐγχείρησιν ἀναμεμιγμένην τῇ τοῦ κόσμου συγχύσει καὶ περιπλοκαῖς καὶ ὁμοῦ πάντα ἀναμεμιγμένα καὶ συμπεπλεγμένα ταῖς ἁμαρτίαις καὶ τὰ λοιπὰ τὰ τὸν θεὸν παροξύνοντα· ἕνεκεν τῶν τοιούτων τὴν ἐγχείρησιν ταύτην οὐκ ἐδεξάμην, ἀλλὰ τὴν μετα ἀγάπης καὶ ταπεινώσεως, καθὼς καὶ διὰ τῆς χάριτος τοῦ θεοῦ ἀναξίου μου ὄντος ἐξ ἀρχῆς ἐγχειρίσθην. καὶ ὅμως καθὼς ἐσοφίσατο Κύριος, οὕτως καὶ ᾠκονόμησεν. καὶ τίς που τέως οὐκ ἔγνωσεν τὴν τοῦ θεοῦ σοφίαν καὶ οἰκονομίαν; ἀλλ' ὅμως τὴν μὲν ἐξ ἀρχῆς δοθεῖσαν μοι διακονίαν τοῦ διδασκαλείου οὐκ ἐπαραιτησάμην, ἀλλὰ εἰ καὶ ἀνάξιος, ὅμως κατὰ τὸν πάλαι Ἰακὼβ ἐγὼ ἀνάξιος ὤν, θεϊκῇ δὲ σοφίᾳ οἰκονομήσας ὁ Κύριος, τὴν σφραγίδα καὶ εὐλογίαν διὰ τῆς πίστεως ἐδεξάμην τοῦ δεσπότου μου τοῦ ἁγιωτάτου πατριάρχου. καὶ ὅμως τὰς θείας γραφὰς καὶ τὰ λανθάνοντα τοῖς πολλοῖς φανεροποιῶ καὶ ἄλλα, ὅσα τοῖς αἰτοῦσιν καὶ χρῄζουσιν, καθὰ καὶ ἡ ἐσὴ ἀγάπη ἡ κατὰ θεὸν ἀρτίως πεποίηκεν.

Ταῦτα μὲν οὐκ ἐμὲ μόνον ἁρμόζουν, ἀλλὰ καὶ πάντας ἁπλῶς τοὺς δυναμένους ἐν τοῖς τοιούτοις μετὰ θεόν, καθὰ καὶ ἐν τοῖς πρώην ἡμῶν πατράσιν εὑρίσκονται πράττεσθαι καὶ δίχα ἐπιτροπῆς. καὶ ὅμως ἐγὼ τότες ἔγραψα ἐπιμέσεως ἀποφαντικῶς οὕτως· ὅτι μὴ τολμήσῃ με τίς που μαρτυρήσειν εἰς ἱερατεῖον, ὅτι εἰς τὸν κόσμον ἐμολύνθην, καὶ νὰ ἐπακούσω ὑπακοὴν προσκρούοντα τὸν θεόν, τοῦτο φοβερόν. τὰ δὲ συντείνοντά με εἰς τὴν τάξιν καὶ τὸν βαθμόν μου, εἰς ταῦτα οὐκ ἀντιτείνω. καὶ ταῦτα γράψας εἰς χαρτίον, τὸν δεσπότην ἡμῶν τὸν ἁγιώτατον πατριάρχην ἀπέστει-

λα. καὶ ἀπεδείχθη ἐπιμέσεως διὰ τῆς χάριτος τοῦ θεοῦ ἡ ἐπαινουμένη ὑπακοὴ καὶ παρακοή, τὴν μὲν διακονίαν μου μὴ παραιτησάμενος, τὸ δὲ ἱερατεῖον, εἰ καὶ ἀνάξιος καὶ ἐλεεινός, ἀλλὰ πολλὰ πολλὰ ἀγαπῶ διὰ πράξεως λαλεῖν τὸν τοῦ θεοῦ λόγον καὶ τὰς θείας γραφὰς φανεροῖν, καὶ οὐ διὰ λόγου μόνου ἁπλῶς καὶ ἀσκόπως. καὶ οὕτως ἐπιμέσεως ἐξ ἐμοῦ ἀποδείξας, ὅτι ἀνάρμοστον καὶ παράνομόν ἐστιν τὸν μολυνθέντα σαρκὶ δίχα τοῦ τιμίου καὶ νομίμου γάμου ἱερατεύειν ἕνεκεν τῆς μετανοίας· ἡ μετάνοια γὰρ (л. 219^b) τὰς ἁμαρτίας ἀποκαθαίρει, οὐ τὴν ἱερωσύνην χαρίζεται, καθὼς οἱ θεῖοι κανόνες διακελεύονται. καὶ ὅμως ἔργῳ καὶ λόγῳ ἐπιμέσεως ἐφανερώθη περὶ τῆς ἱερωσύνης τὰ τῶν θείων κανόνων· ἐκ τῶν αὐτῶν δὲ θείων κανόνων ἐπιστολὴ καθηρμόσθη διὰ τῆς χάριτος τοῦ θεοῦ περὶ τὰ τοιαῦτα πάντα τὰ τῆς ἱερωσύνης εἰς τὸν πρεσβύτερον Λαοδικείας· ἅπερ ταῦτα καὶ ἄλλα, ὅσα ἐν διαφόροις προνοίᾳ θεοῦ ἐσυνάχθησαν καὶ ἐγράφησαν, συνάξας ὁ πνευματικὸς ἡμῶν ἀδελφὸς κύρις Ἰωάννης καὶ ἕτεροι ἔχουσιν. ἐγὼ δὲ τότες τῆς πρώην εὐλόγου ἀφορμῆς τῆς ἀρρωστίας μετὰ ταῦτα ἀπαλλαγεὶς καὶ ὁ καιρὸς ἦγην τὸ κατὰ δύναμίν μου τῆς εὐλόγου ὑπακοῆς οὐκ ἠμέλησα, ὡς καὶ πάλιν τέως ἕως ἄρτι καὶ μετέπειτα ἕως οὗ τῷ θεῷ δοκεῖ· οὕτως γὰρ ἡ τοῦ θεοῦ σοφία οἰκονομεῖ εἰς τοὺς βουλομένους σῴζεσθαι καὶ τὰ εἰς ὠφέλειαν ψυχῆς συνεργοῦντα πρὸς ὑπακοὴν ἄγει, τὰ δὲ πρὸς βλάβος ψυχῆς ἀνατρέχοντα παρακούειν καὶ ἀποφεύγειν κελεύει κατὰ πάσας τὰς θείας γραφάς.

Ἐσὺ δέ, πνευματικέ μου ἀδελφέ, τὰ ἅπερ ᾐτήσω, καθὼς καὶ ἄλλοι πλείονες καὶ ἀπὸ ἄλλας χώρας καὶ ἀπ' ὧδε ὁμοίως αἰτησάμενοι, κατὰ τὸ ἑκάστου ἐπίταγμα εἴ τι ὁ θεὸς ἐδωρήσατο συνεργούσης τῆς αὐτῶν πίστεως καὶ κατὰ θεὸν ἀγάπης ἐγράψαμεν. ταῦτα πάντα συνάψας, καθὼς καὶ προεῖπα, ὁ πνευματικὸς ἡμῶν ἀδελφὸς κύρις Ἰωάννης καὶ ἕτεροι ἡμέτεροι ἔχουσιν· ἄρτι δὲ μετ' αὐτῶν πάντων καὶ τὴν ἐσὴν ἔνθεον ἀγάπην ἀποδώσω μετὰ θεὸν τὸ ψυχωφελὲς χρέος τὸ κατὰ δύναμιν.

Ἔχει δὲ ὧδε τέως περὶ τῆς ἑβδομάδος τῆς τυροφάγου τὴν ἐξήγησιν· εἰς τὸ χρονικὸν βιβλίον τοῦ Ἀλεξανδρέως ἐξηγεῖται, πῶς οἱ ἐνοικοῦντες Ἑβραῖοι ἐν Ἱερουσαλὴμ ζηλοτυπίᾳ φερόμενοι πο-

νηρᾷ τοὺς κατοικοῦντας ἐν Ἱερουσαλὴμ χριστιανοὺς πάντας ἀπέκτειναν· εἰς δὲ τὴν ἅλωσιν τῆς Ἱερουσαλὴμ ὑπὸ τῶν Περσῶν αἰχμαλωτισθεὶς ὁ ἁγιώτατος πατριάρχης Ζαχαρίας μετὰ καὶ τῶν τιμίων ξύλων, εἶθ' οὕτως πάλιν μετὰ τὴν θείαν ἐκείνην παράδοξον βοήθειαν τοῦ θεοῦ τὴν εἰς τοὺς Ῥωμαίους γεγενημένην καὶ παραδόξῳ προνοίᾳ ὁ βασιλεὺς τῶν Ῥωμαίων Ἡρακλῆς τὴν Περσικὴν δυναστείαν κατὰ κράτος νικήσας, τὸν μὲν ἁγιώτατον πατριάρχην Ζαχαρίαν τελευτήσαντα εὗρεν, τὰ δὲ τίμια ξύλα ἀναλαβὼν πρὸς τὰ Ἱεροσόλυμα ἤρχετον· οἱ δὲ προλεχθέντες Ἑβραῖοι οἱ τοὺς χριστιανοὺς ἀποκτείναντες, φοβηθέντες καὶ δῶρα λαβόντες πρὸς ὑπαντὴν ἦλθον τοῦ βασιλέως, μετὰ δόλου τοῦτον εἰς ὅρκον κρατήσαντες. ὁ δὲ βασιλεὺς τούτους ἠρώτα, πόθεν ἐστέ; ἀνταπεκρίθησαν δὲ αὖθις· δοῦλοι τῆς βασιλεία(ς) σου πένητες οἱ Ἑβραῖοι (Л. 220^a) κατοικοῦντες ἐν Ἱερουσαλήμ. καὶ ὡς ἐζήτησαν αὐτὸν ὅρκον μὴ ἀδικῆσαι αὐτούς, οὐκ ἔγνω τὸν δόλον ὁ βασιλεὺς καὶ ἕνεκεν τοῦτο μὴ βουλόμενος τούτους ἀδικῆσαι ὤμοσεν αὐτοὺς ὅρκῳ· ἐλθὼν δὲ εἰς Ἱεροσόλυμα, οἱ ἐν τοῖς ὄρεσιν καὶ ἐν ἑτέροις κρυφίοις [1]) τόποις κρυπτόμενοι ὀλίγοι χριστιανοὶ εἰς πρόσωπον ἦλθαν τοῦ βασιλέως. ἐρωτώμενοι δέ, ὡς μὴ ἕτεροι οὐκ εἰσίν, ἀπεκάλυψαν πάντα τῷ βασιλεῖ. τότε ἔγνω ὁ βασιλεὺς τῶν Ἑβραίων τὸν δόλον· εἶτα λέγει αὐτούς· Τί ἀρεστόν ἐστιν ὑμῖν ποιήσω; οἱ δὲ ᾐτήσαντο τοὺς Ἑβραίους ἀποκτανθῆναι καὶ καθὼς ἔπραξαν ταῦτα παθεῖν. ὁ δὲ βασιλεὺς Ἡρακλῆς τὸν ὅρκον φοβούμενος οὐκ ἡρετίσατο τοῦτο ποιῆσαι· ἰδόντες δὲ οἱ χριστιανοὶ καὶ θέλοντες τοῦτο ἐπιτυχεῖν, ἐτύπωσαν ταύτην τὴν ἑβδομάδα τῆς τυροφάγου νηστεύειν ὑπὲρ τῆς τοῦ ὅρκου τοῦ Ἡρακλῆ βασιλέως.

Ταῦτα δὲ ἕως ὧδε ἐκ τὸ προγεγραμμένον βιβλίον τοῦ Ἀλεξανδρέως, πλὴν ἐνεπιτόμως ἰδιωτικῶς τε καὶ χωρικῶς ἐστι [2]), ἐκεῖ δὲ πλατυτέρως καὶ ἄλλην καὶ τεχνικὴν τὴν ἔκδοσιν ἔχοντα. τοῦτο δὲ τὸ εὖγα τοῦ Ἡρακλῆ ἐκ Περσίδος οὐκ ἰσάζουν τὰ συγγράμματα ἶσα, ἀλλ' ὅμως εἴτε οὕτως εἴτε οὕτως. ὃς κἂν ἐξῆλθεν ἀπὸ Περσίδος, τοῦτον ἔχει τὸν τρόπον περὶ τὴν αὐτὴν ἑβδομάδα, καθὼς ὧδε λέγει. σκόπει δέ, ὅτι διὰ τοῦτο φιλονεικοῦν οἱ

---

[1]) κρυφέοις cod. [2]) στῆ cod.

αἱρετικοὶ Ἀρμένιοι λέγοντες, ὅτι τί ἐνεχόμεθα τὴν ἑβδομάδα ταύτην νηστεύειν διὰ βασιλέα τυπωθέντα καὶ οὕτως εἰς τὰ Ἱεροσόλυμα μόνον ἁρμόζοντα. οἱ ἡμέτεροι δὲ πατέρες οὐ διὰ τὸν Ἡρακλῆν, καὶ μᾶλλον ὅτι Μαρωνίτης ἐτελεύτησεν, ἀλλὰ προκαθάρσιμον τῶν ἁγίων νηστειῶν ἐπαρέδωκαν ταύτην, καθὼς τὰ συγγράμματα ἔχουσιν, καὶ ὅμως τὰ στιχηρὰ καὶ πᾶσα ἡ ἀκολουθία τῆς ἑβδομάδος ταύτης προκάθαρσιν λέγουν καὶ ψάλλονται, καὶ οὐχὶ διὰ βασιλέα, καθὼς αὐτοὶ οἱ αἱρετικοὶ οἱ Ἀρμένιοι λέγουσιν. εἰς ταύτην δὲ τὴν ἑβδομάδα ἀπεναντίας ἐνέριψεν ζιζάνια ὁ διάβολος, καθὼς ὁ κανὼν τοῦ ἁγίου Νικηφόρου πατριάρχου Κωνσταντινουπόλεως διαγορεύει· τὰ γὰρ ἐξ ἀκοῆς, καθὼς καὶ εἶπα σε, συγχώρεσόν με, ἐγγράφως οὐ παραδίδω τέως εἰς τὰ τοιαῦτα καὶ μᾶλλον εἰς τὰ τῆς πίστεως, ἀλλὰ καὶ τὰ ἐγγράφως μετὰ ἀκριβείας καὶ φόβου ἢ οὐδὲ ὅλως διὰ τὸν κίνδυνον, ὅτι χωρικὸς καὶ ἰδιώτης ὢν περὶ πίστεως οὐκ ἀποτολμῶ ἐρευνᾶν, οὐδὲ οἶδα τὸ τί ἦν τοῦτα, καὶ μᾶλλον ὅτι καὶ ἀσθενὴς κατὰ ψυχήν, καὶ ἀνάρμοστόν ἐστιν εἰς τοὺς τοιούτους τὰ τοιαῦτα ἐρευνᾶν. ἐγὼ δὲ διὰ τὴν ἀγάπην τοῦ Χριστοῦ καὶ τὴν ἀγάπην σου, καθὼς καὶ ἐδεήθης καὶ ἐπέταξές με, εἴ τι καὶ ἐνέτυχα ἐγγράφως ἔγραψα· καὶ πάλιν ἐξ ἀκοῆς εἴ τι καὶ ἤκουσα εἶπα σε. πλεῖον οὐδέν. τέως περὶ τῆς ἑβδομάδος τῆς τυρινῆς, καθὼς καὶ προεῖπα, ἔνι κανὼν τοῦ ἁγίου (л. 220^b) Νικηφόρου Κωνσταντινουπόλεως κανὼν δ΄ λέγων οὕτως· ὅτι δεῖ νηστεύειν τοὺς μοναχοὺς τῇ τετράδι τῆς τυροφάγου καὶ τῇ παρασκευῇ καὶ μετὰ τὴν τῶν προηγιασμένων ἀπόλυσιν ἐσθίειν τυρόν, ὅπου ἂν εὑρεθῶσιν. ἀνατρέπει δὲ οὗτος ὁ κανὼν τοῦ Ἰακώβου τὸ δόγμα καὶ τὴν τῶν Τετραδιτῶν αἵρεσιν.

Καὶ ὧδε μὲν οὕτως· ὁμοίως εἰς τοὺς αὐτοὺς κανόνας περὶ τὴν μεγάλην τεσσαρακοστὴν τοὺς ἀσθενοῦντας μοναχοὺς ἐπιτρέπει μόνους ἐσθίειν ὀψάριν, ἄλλους οὐχί.

Περὶ δὲ τοῦ Εὐαγγελισμοῦ λέγει, ὅτι ἐὰν φθάσῃ ὁ Εὐαγγελισμὸς τῇ μεγάλῃ ε΄ ἢ τῇ μεγάλῃ παρασκευῇ, χρὴ μετασχεῖν οἴνου καὶ ἐλαίου καὶ ἰχθύων.

Ἄρτι, πνευματικὲ ἀδελφέ μου, ἡ μία σου αἴτησις ἀπεδόθην. καὶ ὅμως περὶ τῶν Τετραδιτῶν τούτων καὶ ἕτερα ἀπὸ στόματος ἐδιδάχθην, ἀλλὰ τέως διὰ τὰς ἐν ἀγνοίᾳ ὑπονοίας μικρὸν ὅμως καὶ ἐγγράφως ηὗρα, ὅτι εἰς τὰ τῆς πίστεως τετράδα ὁμολογοῦν, οὐ τριάδα· ἡμεῖς μὲν τριάδα ὁμοούσιον ὁμολογοῦμεν, οὗτοι δὲ προσθήττους εἰς τὸ τετράδα. καὶ τέως μικρὸν τὴν εἴδησιν εἶπα μόνον καὶ τοῦτο ηὗρα, ἵνα μὴ νομίσῃ τίς πον, ὅτι εἰς πρᾶξιν ἐστίν (οὐ γὰρ οὕτως ἔχει), ἀλλ᾽ εἰς πίστιν ἔχει τὸ σφάλμα. καὶ ἐγώ, καθὼς καὶ προεῖπα, τὰ ἀπὸ στόματος ἀκούω, πάλιν ἀπὸ στόματος λέγω, ὅταν μᾶλλον καὶ οὐκ ἔχῃ εὔλογον ἀφορμήν.

Ὧδε πάλιν περὶ τῶν ἁγιωτάτων ἡμῶν πατριαρχῶν, καθὼς ᾐτήσω, πνευματικέ μου ἀδελφέ, τὰ ηὗρα ἐγγράφως ὧδε προσθήσω ἐν ἐπιτόμως, διὰ τὸ καὶ πλατυτέρως εἰς τοῦ πνευματικοῦ ἡμῶν ἀδελφοῦ κυροῦ Ἰωάννου τὴν ἐπιστολὴν ἔγραψα τὰ τοιαῦτα πάντα, καὶ ἕτερα ὅμοια καθηρμόσθησαν ἐν ἀκριβείᾳ· τέως ὧδε τὰ ἅπερ ἐζήτησας ἀναγκαῖα ἀρξώμεθα διὰ τῆς χάριτος τοῦ θεοῦ. Γέγραπται ἐν ἱστορικῷ βιβλίῳ ἤτοι Τακτικόν, ὅτι ἀφοῦ παρεδόθησαν τὰ Ἱεροσόλυμα καὶ ἐκρατήθησαν παρὰ τῶν Σαρακηνῶν ὑπὸ τὰς ἡμέρας τοῦ ἁγιωτάτου πατριάρχου Σωφρονίου, μετὰ τὸ παρελθεῖν αὐτὸν οὐκ ἐτόλμησέν τις ἢ παρεχωρήθη ἐκεῖ πατριάρχης γενέσθαι ἕως ἐπέκεινα πλείους κ΄ χρόνους. ἡ δὲ Ἀντιόχεια ἀπὸ τὰς ἡμέρας Ἡρακλείου βασιλέως μετὰ τὸ κρατῆσαι Σαρακηνοὺς ὁ θρόνος Ἀντιοχείας μ΄ χρόνους ποιήσας μὴ ἐλθὼν ἐν αὐτῇ πατριάρχης κωλυόντων τῶν Σαρακηνῶν, ἀλλὰ πατριάρχαι Ἀντιοχείας κατὰ διαδοχὴν γενόμενοι ἐν Κωνσταντινουπόλει διῆγον, καὶ μετὰ τὸ τελευτῆσαι τὸν ἕνα ἕτερος ἀντ᾽ αὐτοῦ ἐγεγόνει ἕως τοῦ τρίτου, ἕως τοῦ τρίτου αὐτόθι διατρίβοντες. καὶ ὅμως γεγόνασιν ἐκ τούτων αἱρετικοί. καὶ μετὰ τοὺς μ΄ χρόνους ἐκλείποντες οἱ πατριάρχαι προστάξει τῶν Σαρακηνῶν ἐκ τῶν μερῶν Συρίας χριστιανῶν προσέταξαν γίνεσθαι πατριάρχας, ὡς καὶ ἐγένοντο, ἕως οὗ Ῥωμαῖοι τὰς χώρας ἐκράτησαν. μετὰ δὲ τὸ κρατῆσαι Ῥωμαίους (л. 221a) πρῶτος πατριάρχης Ἀντιοχείας ὁ μακαρίτης ἐγένετο Θεόδωρος, ἡγούμενος ὢν τοῦ μοναστηρίου τοῦ κυροῦ Ἀντωνίου ἐν τῷ θέματι τῶν Ἀρμενιακῶν. τοῦτον ὁ βασιλεὺς Ἰωάννης ὁ Τζιμισχῆς χρυσοβούλλιον δέδωκεν καὶ ἐκύρωσεν πάντα τὰ τετυπωμένα.

ὁμοίως καὶ πάσας τὰς ἐκκλησίας καὶ τὰ ἐν Ἀντιοχείᾳ καὶ ἐν τοῖς πέριξ μοναστηρίοις τὸ δίκαιον τοῦ πατριάρχου πεποίηκεν, ἀκολουθῶν τοὺς θείους κανόνας καὶ τοὺς πρὸ αὐτοῦ πολιτικοὺς νόμους, ὡς καὶ αὐτοὶ πάντες διαγορεύουσιν. προσεκύρωσεν δὲ ὁ βασιλεὺς τοῖς κατὰ καιρὸν πατριάρχαις Ἀντιοχείας ἐνδιαίτημα τὴν ἐν Κωνσταντινουπόλει μονὴν τῆς ὑπεραγίας Θεοτόκου τῶν Ὁδηγῶν. καὶ ἐποίησεν Πολύε⟨υ⟩κτος ὁ ἁγιώτατος πατριάρχης Κωνσταντινουπόλεως προτρεπτικὸν ἔγγραφον τοῦ λειτουργεῖν καὶ χειροτονεῖν τοὺς κατὰ καιρὸν πατριάρχας Ἀντιοχείας ἐν τοῖς μετοχίοις αὐτοῦ, ἔν τε τῇ βασιλευούσῃ καὶ ἐν πᾶσι τῆς ἐνορίας αὐτῆς, ἔνθα ἂν καὶ μετόχιον ἐπιφέρεται, καὶ ἀναφέρεσθαι τὴν ὀνομασίαν αὐτοῦ. μετὰ ταῦτα Ἀγάπιος πατριάρχης Ἀντιοχείας παραιτησάμενος, ἀντ' αὐτοῦ Ἰωάννης προβάλλεται ὁ μακαρίτης. μεταμεληθεὶς δὲ ὁ Ἀγάπιος τὴν παραίτησιν, καὶ ὁ μακάριος Ἰωάννης φοβηθεὶς οὐκ ἐκαρτέρησεν ἐλθεῖν εἰς τὸν θρόνον αὐτοῦ καὶ ὑπὸ τῶν αὐτοῦ μητροπολιτῶν τελειωθῆναι τὴν ἱερωσύνην, ἀλλὰ κατὰ σπουδὴν προέδωκεν τὸ προνόμιον Ἀντιοχείας, καὶ ἀπὸ τότε ἐτυπώθη χειροτονεῖσθαι ὑπὸ τοῦ πατριάρχου Κωνσταντινουπόλεως.

Ὑπὸ τοῦ μακαρίτου πατριάρχου Ἀντιοχείας κυροῦ Πέτρου Χριστόδουλος διάκονος τῆς ἁγιωτάτης ἐκκλησίας Ἀντιοχείας ὁ Ἁγιοστεφανίτης ἐν Κωνσταντινουπόλει ἀπελθὼν κουβουκλήσιος ἐτιμήθη ὑπὸ Μιχαὴλ τοῦ ἁγιωτάτου πατριάρχου, καὶ ἐν Ἀντιοχείᾳ ἐλθὼν ὡς τιμηθεὶς ὑπὸ τοῦ οἰκουμενικοῦ πατριάρχου. ὁ δὲ κύρις Πέτρος μὴ καταδεξάμενος προδοῦναι τὰ τῆς ἐκκλησίας αὐτοῦ δίκαια, τὸν διάκονα ἀπεδίωξεν καὶ τὴν κέλευσιν διέρρηξεν, τὸν δὲ πατριάρχην ἔγραψεν αὐστηρὰς γραφὰς ἀναδιδάσκων τὸ δίκαιον, ὅτι οὐκ ἔστιν ὁ ἀποστολικὸς θρόνος Ἀντιοχείας ὑπὸ τοῦ Κωνσταντινουπόλεως, ἀλλὰ καὶ τὴν σφραγίδα παράνομον ἔχει ὁ Κωνσταντινουπόλεως διὰ σπουδῆς Ἰωάννου τοῦ ἁγιωτάτου, ⟨ὃς⟩ τὰ τῆς ἐκκλησίας Ἀντιοχείας προνόμια ἔδωκε. καὶ ἀντέγραψεν ὁ Κωνσταντινουπόλεως συγγνώμην αἰτῶν, ὅτι παρὰ γνώμην αὐτοῦ ὑπὸ τοῦ χαρτοφύλακος αὐτοῦ ἐγένετο τὸ σιγίλλιον. καὶ ὁ πατριάρχης μετὰ τοῦτο τὸν διάκονα συνεπάθησεν.

Ταῦτα πάντα εἰς τὸ προλεχθὲν βιβλίον οὕτως γράφουν. ἀποδεικνύει δὲ καὶ τοῦτο ⟨ὁ⟩ ἐκεῖ γράφων, ὅτι ὁ ἀποστολικὸς θρόνος τῆς

Ἀντιοχείας ἀπὸ θαλάσσης τῆς Κωνσταντινουπόλεως ἐκράτει ἕως πάσης ἀνατολῆς καὶ ἕνεκεν τοῦτο πάσης Ἀνατολῆς ὀνομάζεται πατριάρχης, ἐπειδὴ τῶν πρώην ἡμερῶν ἀπεκόπη μέρος (л. 221^b) πρὸς Κωνσταντινούπολιν. μετέπειτα δὲ πάλιν ἐπὶ Σεβήρου Ἀντιοχείας θέλων μὴ τοῦτον καθαίρουν προέδωκεν τὰ λοιπά. ταῦτα πάντα ἐκεῖ μνημονεύουν εἰς τὸ προλεχθὲν βιβλίον.

Περὶ δὲ τὴν τάξιν τῶν μεγάλων θρόνων ἴδε τὸν κύριν Ἰωάννην τοῦ διποτάτου εἴτε ἀλλαχοῦ, ὅπου εὕρῃς τὰς ἐπιστολὰς τοῦ κυροῦ Πέτρου τοῦ πατριάρχου Ἀντιοχείας, καὶ νὰ εὕρῃς ἐπιστολὴν εἰς τὸν Βενετίας. εἴτε εἰς τὰς αὐτὰς ἀλλαχοῦ, καὶ ἐκεῖ συσταίνει καὶ ἀποδεικνύει τὸν Ἀντιοχείας μόνον ὄντα καὶ λεγόμενον πατριάρχην, οἱ λοιποὶ δὲ εἷς ἕκαστος τὴν ἰδίαν προσωνυμίαν κέκτηται. καὶ τὸ θεῖον μύρον ἐξ ἀρχῆς ἄλλῃ οὐκ ἡγιάζετο. γράφει δὲ εἰς ὅπερ προεῖπα ἄνωθεν βιβλίον ἱστορικὸν εἰς πρακταῖα τῆς ἐν Χαλκηδόνι ἁγίας συνόδου, ὅτι ἐτυπώθη δὲ τὸ μύρον πανταχοῦ ἁγιάζεσθαι· πρῶτον γὰρ ὑπὸ τοῦ Ἀντιοχείας μόνου ἡγιάζετο· μαθὼν δὲ ὅτι δώρων ἕνεκα δίδοται, ἐτυπώθη παντὶ ὑπὸ τῶν ἐπισκόπων ἁγιάζεσθαι. ὁ δὲ βασιλεὺς φιλοφρονήσας τὴν σύνοδον τῶν χλ' πατέρων, ἀπέλυσεν ἕκαστον εἰς τὰ ἴδια. ταῦτα εἰς πρακταῖα τῆς ἐν Χαλκηδόνι συνόδου γράφουν, καθὼς καὶ προείπαμεν. τοῦτο δὲ ὑπομνήζω τὴν κατὰ θεόν σας ἀγάπην σκοπῆσαι, μήπως ἔφθασεν καιρὸς πληροῦσθαι τὸ τοῦ μεγάλου Ἀντωνίου ῥητὸν καθὼς καὶ ἀναγινώσκεται τὸ λέγον, ὅτι ἔρχεται καιρός, ἵνα οἱ ἄνθρωποι μανῶσιν καί, ἐπὰν ἴδωσίν τινα μὴ μαινόμενον, ἐπαναστήσονται αὐτὸν λέγοντες, ὅτι σὺ μαίνει διὰ τὸ μὴ εἶναι ὅμοιος αὐτοῖς. ἐγὼ ὅμως, ὡς καὶ νομίζω, τέως κατὰ προαίρεσιν τῷ κατὰ θεῷ ζήλῳ κινούμενος καὶ ὡς αὐτὸς δώσει ἰσχὺν διὰ τὴν αὐτοῦ ἀγάπην καὶ τὴν ὁμοίαν τὴν τοῦ πλησίον, εἴ τινα ἑρμηνείαν ἐντύχω τῶν θείων γραφῶν, φανερωποιῶ διὰ τὴν ἐπιγινομένην πλάνην προφάσει τῶν θείων γραφῶν. ἕνεκεν τοῦτο ὅταν καὶ ἤμουν αὐτόθι, καθὼς γινώσκεις, ἔδειξά σε εἰς τὸν Πραξαπόστολον τὸ κεφάλαιον περὶ τῶν ἁγίων ἀποστόλων τὸν κλῆρον, καθὼς ἐκεῖ λέγει, ὅτι ἔβαλον κλήρους. καὶ οἶδας, πῶς τὸ ἑρμήνευσεν ἐκεῖ ὁ θεῖος Χρυσόστο-

μος καὶ πῶς ἦτον ἡ ὑπόθεσις τοῦ κλήρου ἐκείνου, καὶ οὐχ ὡς πλανῶντες τινὲς ἐκ τῆς ἰδίας ἐπιθυμίας καὶ φέρουσιν παράλογον ἀφορμὴν εἰς μαρτυρίαν, καὶ ἀγνώστως τὴν θείαν παρερμηνεύουσιν γραφήν, καὶ κλήρους ποιοῦσιν, καὶ πράττουσιν τὰ ἅπερ εἰσὶν ἀπηγορευμένα παρὰ τῶν θείων γραφῶν ἐκ τῆς τῶν χριστιανῶν παραδόσεως. ῥῦσαι ἡμᾶς, Κύριε, πάντας ἐκ τὰς τοιαύτας καὶ ἑτέρας διαφόρους πλάνας καὶ ἐξελοῦ ἐκ τῆς παγίδος τοῦ σατανᾶ πρεσβείαις τῆς ὑπερενδόξου θεοτόκου καὶ πάντων τῶν ἁγίων ἀμήν:—

17 іюля 1850 г.
Синай.

C. Слово 35-ое о цатахъ.

λε΄. Τοῦ αὐτοῦ περὶ τῶν πνευματικῶν ἡμῶν ἀδελφῶν τῶν ἐπιλεγομένων Τζάτων.

Τὸ ἴσον τοῦ πατριαρχικοῦ πιττακίου τοῦ ἀποσταλέντος πρὸς τὸν κύριν Εὐθύμιον πατριάρχην Ἱεροσολύμων.

Ἐπιγραφή. Τῷ θεοειδεστάτῳ καὶ ἁγίῳ ἡμῶν δεσπότῃ τῷ θεοτιμήτῳ πατριάρχῃ Ἱεροσολύμων οἱ ἐνδημοῦντες ἐν Ἀντιοχείᾳ ἀρχιερεῖς καὶ τοῦ κλήρου οἱ πρόκριτοι, τὰ τέκνα καὶ δοῦλοί σου:—

Ἐχρῆν μὲν ἡμᾶς, θεοτίμητε [1]) ἡμῶν καὶ ἅγιε δέσποτα, διὰ γραμμάτων ἀεὶ καὶ προσαγορεύειν σοι καὶ ἀσπάζεσθαι καὶ τὴν ὀφειλομένην τὴν κατὰ θεόν σου πελιῶσαν [2]) ἀποδιδόναι προσκύνησιν, ὥστε τῶν ἁγίων σου με(л. 233[a])ταλαγχάνειν εὐχῶν καὶ παρά σου εὐλογεῖσθαι. ἀλλ' αἱ συμβᾶσαι ἡμῖν περιστάσεις καὶ ἡ γενομένη τῶν πραγμάτων ἐναλλαγὴ τοῦ δέοντος ἡμᾶς περικόπτουσιν τοῦ συμφέροντος, ἐπειδὴ καὶ ἀποίμαντοι διατελοῦμεν, καὶ οὐκ ἔστιν ὅστις ἡμᾶς εἰς ἓν συνάξει διεσπαρμένους ὄντας καὶ θηρσὶν εὐάλωτον [3]) ὑπηργμένους θήραμα. νῦν δὲ καινοῦ [4]) τοῖς ὠσὶν ἡμῶν παρεμπεσόντος [5]) ἀκούσματος, τὴν παροῦσαν γραφὴν πρὸς τὴν ἁγιωσύνην σου τεθαρρήκαμεν, τοῦτο μὲν τὴν ὀφειλὴν αὐτὴν ἀποτινύντες τῆς προσκυνήσεως καὶ τὴν παρ' αὐτῆς εὐλογίαν αἰτούμενοι, τοῦτο δὲ καὶ περὶ τοῦ ἀκουσθέντος δηλοῦντες· ἴσως γὰρ εἰς τὰς σὰς οὐκ ἀνηνέχθη τοῦτο ἀκοάς. ἠκηκόημεν γάρ, ὅτι τῶν Τζά-

---

[1]) θεοτίμετε cod. [2]) cod. переправляетъ изъ πελιωεῖταν(?) [3]) εὐαλότων cod. [4]) κενοῦ cod. [5]) παρεμπεσότως cod.

των Ἀρμενίων τινῶν, ἤτοι τῶν ἀναχωρητῶν τῆς τῶν Ἀρμενίων θρησκείας, αὐτοῦ [1]) που ποιησαμένων τὴν κατοίκησιν καὶ ἡσυχάζειν αὐτόθι προελομένων, τινὲς πάντως τοῦ μισοκάλου ἐχθροῦ ἐπιτίθενται τούτοις [2]) καὶ ὡς οὐκ ὀρθοδόξους [3]) διαβάλλουσιν καὶ παντοίῳ τρόπῳ λυποῦσιν αὐτούς. εἰ γὰρ τοιοῦτοι καὶ δεκταῖοι ἡγοῦντο παρὰ τῶν προηγησαμένων ἁγιωτάτων πατριαρχῶν ἡμῶν, καί τινες αὐτῶν ἀδελφοὶ ἐντεταγμένοι εἰσὶν ἔν τε τῇ σεβασμίᾳ μονῇ τοῦ ἁγίου Συμεὼν τοῦ Θαυματουργοῦ καὶ ἐν ἑτέραις μοναῖς, ἐν αἷς καὶ λειτουργοῦσιν καὶ τῶν ἀχράντων μυστηρίων τοῖς ὀρθοδόξοις συμμεταλαμβάνουσιν, καὶ οὔτε ἔκπαλαι τῶν χρόνων μέχρι τοῦ νῦν ἐνέσκηψεν ἀμφιβολία περὶ τὴν δόξαν αὐτῶν. ταῦτα οὖν ἡμεῖς ὡς εἰδότες ἐδηλώσαμεν, τῆς σῆς δὲ βουλήσεώς ἐστιν ἢ τῇ γνώμῃ τῶν προηγησαμένων μακαριωτάτων πατριαρχῶν ἐπακολουθῆσαι, ἢ ἄλλως πως κατὰ τὸ δοκοῦν καὶ ἀρέσκον θεῷ διαπράξασθαι. αἱ οὖν τιμίαι καὶ ἁγίαι σου εὐχαὶ χαρισθείησαν ἡμῖν διὰ βίου παντός.

Τὸ ἴσον τοῦ πιττακίου τοῦ ἀποσταλέντος ἐκ τὸν ἅγιον θαυματουργὸν Συμεὼν πρὸς τὸν κύριν Εὐθύμιον πατριάρχην Ἱεροσολύμων μετὰ τοῦ πατριαρχικοῦ πιττακίου.

Ἡ ἐπιγραφή. Τῷ μακαριωτάτῳ καὶ ἁγίῳ δεσπότῃ μου τῷ τρισμακαρίῳ πατριάρχῃ Ἱεροσολύμων, Πέτρος ἐλάχιστος μοναχὸς πρεσβύτερος καὶ καθηγούμενος καὶ ἀρχιμανδρίτης τῆς σεβασμίας μονῆς τοῦ ἐν τῷ Θαυμαστῷ Ὄρει θαυματουργοῦ καὶ ἁγίου Συμεών, ὁ δοῦλος τῆς εὐχῆς σου.

Μακαριώτατε δέσποτά μου καὶ ἁγιώτατε. φήμη τις ἐπῆλθεν ταῖς ἡμε(л. 233^{b})τέραις ἀκοαῖς περὶ τῶν αὐτόθι ὄντων ἀναχωρητῶν τῶν Τζάτων, αὐτοῦ που ποιησαμένων τὴν κατοίκησιν καὶ ἡσυχάζειν προελομένων. τινὲς πάντως ἐπηρείᾳ τοῦ μισοκάλου ἐχθροῦ ἐπιτίθενται τούτοις καὶ ὡς οὐκ ὀρθοδόξους διαβάλλουσιν καὶ παντοίῳ τρόπῳ λυποῦσιν αὐτούς. καὶ οὗτοι, δέσποτα ἅγιε, δεκταῖοι ἡγοῦντο παρὰ τῶν προηγησαμένων ἁγίων γερόντων καὶ τῶν ἁγιωτάτων πατριαρχῶν, καί τινες ἐξ αὐτῶν συντεταγμένοι εἰσὶν

---

[1]) αὐτ'οῦ cod. [2]) τοῦτους cod. [3]) ὀρθοδόξοις cod.

εἰς τὴν ἀδελφότητα τῆς ἁγίας ἡμῶν μονῆς, καὶ συλλειτουργεῖν καὶ συγκοινωνεῖν ἡμῖν ἐμ πᾶσι παρ' ἐκείνων τῶν ἁγίων γερόντων καὶ συναυλίζεσθαι ὡρίσθησαν ὡς ὀρθόδοξοι. καὶ εἰ οὐκ ἀκριβῶς ἠρεύνησαν καὶ ὀρθὰ φρονούντων εἰς τὴν ὀρθόδοξον πίστιν, οὐκ ἂν τούτους ἐδέξαντο. καὶ ἡμεῖς ὡς εἰδότες τὰ κατ' αὐτοὺς ἐδηλώσαμεν τὴν σὴν μακαριότητα, σοὶ δέ ἐστιν θέλησις κατὰ τὸ δοκοῦν αὐτῇ καὶ τῷ θεῷ ἀρέσκον διαπράξασθαι. ἡμᾶς δὲ τοὺς ἀναξίους δούλους σου ἀξιοῦμεν, ἵνα (ὅτε) πρὸς τὸ θεῖον τελεσιουργεῖς, εὐχαῖς σου μὴ ἐπιλάθῃ· ὡς δοῦλοι γὰρ ἀνάξιοι τολμήσαντες ἐγράψαμεν.

Переписано 13 іюля 1850 г.
въ Синайскомъ монастырѣ.

D. Слово 36-ое о тѣхъ же цатахъ.

λς'. Τοῦ αὐτοῦ εἰς τὸν ἀββᾶν Γεράσιμον περὶ τῶν αὐτῶν. καὶ τὸ ἴσον τοῦ πιττακίου τὸ ἀπολυθὲν εἰς τὰ Ἱεροσόλυμα πρὸς τὸν ἀββᾶν Γεράσιμον, ὅπως ἀναγνωσθῇ ἐπιμέσεως μετὰ τῶν δύο πιττακίων τοῦ τε πατριάρχου καὶ τοῦ ἁγίου Συμεὼν τοῦ θαυματουργοῦ τῆς μονῆς.

Ἠγαπημένον καὶ πνευματικόν μου τέκνον. ὡς ἠκούσαμεν παρά τινων, ὅτι τινὲς τῶν αὐτόθι ἐν ἀγνοίᾳ καὶ παρακινήσει σατανικῇ κινούμενοι διὰ λόγων λυποῦσι τοὺς αὐτόθι ἀδελφοὺς ἡμῶν τοὺς λεγομένους Τζάτους, καὶ ὅμως οὐ φανερῶς καὶ κατὰ πλάτος, ἀλλὰ κρυφίως καὶ φθόνῳ σατανικῷ καὶ ἄλλας τινὰς σαρκικὰς ἀφορμὰς προβαλλόμενοι. καὶ ἵνα μὴ ἐξ ἀγνοίας τῶν ἀκουόντων ἰδιωτῶν καὶ πάλιν τῶν ζητούντων ἀφορμὰς ἀπωλείας, τῶν πονηρῶν λέγω δαιμόνων, τὴν ῥίζαν τοῦ τοιούτου πονηροῦ καὶ σατανικοῦ φυτοῦ καὶ τῶν ὁμοίων τούτων ἕκαστος τὸ κατὰ δύναμιν διὰ τὸν τῆς ἀγάπης θεσμὸν τοῦ Χριστοῦ συνεργοῦντος ἐκριζῶσαι ἀγωνισθήτω. ἐγὼ δὲ ὧδε, τοῦ κυρίου θεοῦ καὶ σωτῆρος ἡμῶν καὶ τῆς ἀχράντου μητρὸς αὐτοῦ τῆς θεοτόκου καὶ πάντων αὐτοῦ τῶν ἁγίων συνεργησάντων, τὸ κατὰ δύναμίν μου (л. 234^a) οὐκ ἠμέλησα καὶ εἰς τὴν καθολικὴν ἐκκλησίαν εἰς τὸ πατριαρχεῖον καὶ εἰς τὸν ἅγιον Συμεὼν τὸν αὐθέντην μας τὸν θαυματουργόν. καὶ ἐπιμέσεως ἠρευνήθη ὑπὸ πάντων ἐν ἀκριβείᾳ καὶ φανερῶς ἀπεκαθαιρίσθησαν πάντα χάριτι Χριστοῦ. καὶ ἰδοὺ ἀπελύσαμεν τὰ πιττάκια καὶ τὰς

ἐγγράφους μαρτυρίας καὶ πληροφορίας. ὅμως καὶ ἐγώ, ἐσὺ καλά με ἐξεύρεις, ἠγαπημένον μου τέκνον, ὅτι ἐκπαιδόθεν συνανετράφης μοι καὶ ἐξεύρεις, ὅτι ὧδε εἰς τὸ μοναστήριον μὲ τοὺς ἀδελφοὺς τούτους, εἰς τὴν θεοτόκον λέγω τὴν ἐπονομαζομένην τοῦ Ῥοϊδίου, οὐχ ἁπλῶς καὶ ἀσκόπως ἐκάθησα. ἀλλὰ καθὼς ἐξεύρεις, ὅταν ἐπαρεδόθη ἡ Ἀντιόχεια, ἦλθα ὧδε εἰς τὴν θεοτόκον εἰς τὸ Ῥοΐδην καὶ ηὗρα πρῶτον μὲν τὸν τόπον ἀπερίκοπον ἀπὸ τῶν ἐθνῶν καὶ ἀπὸ πανταχόθεν καὶ ἥσυχον καὶ συνεργοῦντα τὸν σκοπόν μου, ὡς ἠγάπουν καὶ ἤθελα, καθὼς με ἐξεύρεις. ἔπειτα πάλιν ηὗρα τοὺς ἀλλογλώσσους ἀγροίκους καὶ ἰδιώτας καὶ ὁμοπίστους, καθὼς καὶ τοὺς Αἰγυπτίους ἐκείνους ἀλλογλώσσους καὶ ἰδιώτας οἱ πρώην ἐκεῖνοι πατέρες ἡμῶν Ῥωμαῖοι. καὶ ὅμως ἐγὼ εἰ καὶ ἀνάξιος ὤν, ἀλλὰ δοῦλος αὐτῶν ἔκρινα εἶναι με διὰ τὸ σχῆμα, καὶ ὡς νομίζω τὸ κατὰ δύναμιν τεως τὸ ὅσον μικρόν τι σπουδάζω τούτους μιμεῖσθαι. οὐκ ἀσκόπως δὲ ὧδε ἐκάθησα, ἀλλὰ πρότερον ἐξερεύνησα εἰς τὸν ἅγιον Συμεὼν τὸν Θαυματουργὸν τοὺς εἰδότας καὶ γνωστικούς, καὶ ἁπλῶς καὶ ἀλλαχοῦ τοὺς γινώσκοντας τὰς θείας γραφάς. καὶ πάλιν ἔγραψα εἰς τὴν καθολικὴν ἐκκλησίαν εἰς τὸ πατριαρχεῖον, καὶ ἀπέλυσέν με ὁ δεσπότης ὁ σακελλίου πιττάκιν περιέχον τὴν αὐτῶν μαρτυρίαν καὶ τῆς αὐτῶν τελείας πίστεως τὴν πληροφορίαν διαλαμβάνον οὕτως καὶ λέγον. ὅτι τοὺς Τζάτους ὑμεῖς μᾶλλον οἴδατε· ἐν τῇ καθ ὑμᾶς γὰρ ἀσκοῦνται[1]) μονῇ. εἰ δὲ τούτους οἱ προηγησάμενοι ἅγιοι πατέρες ἀλλοτρίους τῆς ὀρθῆς ἐγίνωσκον πίστεως, πῶς τούτους συνοικεῖν καὶ συνδιάγειν αὐτοὺς καὶ συναναστρέφεσθαι κατεδέξαντο, ἢ πῶς οἱ μακαριστοὶ πατριάρχαι ἐν ᾧ τῷ πανιέρῳ τόπῳ εἰσέρχεσθαι αὐτοὺς καὶ εὐχὰς ἐπιτελεῖν καὶ λειτουργίας παρεχώρησαν, εἰ μὴ ὀρθῶς φρονοῦντας ἠπίσταντο.

Ταῦτα περιεῖχεν τοῦ σακελλίου τὸ πιττάκιν καὶ ἀπέλυσέν με το εἰς τὸν ἅγιον Συμεών, ἐν ᾧ καὶ φυλάττω το ἐκ πίστεως. (J. 234^{b}) καὶ ἄλλας γραφὰς ἀπέλυσάν με περιέχοντα τελείαν πληροφορίαν παρὰ τῶν ἀρχιερέων τῆς καθολικῆς ἐκκλησίας καὶ προ-

1) ἀσκοῦντες cod.

τροπὴν τῆς εἰς αὐτῶν συνοικήσεως καὶ συνδιαγωγῆς καὶ συγκοινωνίας τῶν θείων μυστηρίων, λέγοντα οὕτως, ὅτι τοῖς ὀρθῶς περὶ τὴν ἀμώμητον τῶν χριστιανῶν ἔχοντας πίστιν οὐκ ἔστιν σφαλερὸν συγκοινωνεῖν τῶν θείων μυστηρίων καὶ μεταδιδόναι αὐτοῖς καὶ παρ' αὐτῶν μεταλαμβάνειν· οὐδὲ γὰρ περὶ τὴν γλῶσσαν ἐστὶν ἡ διαφορὰ καὶ τὸ ὕποπτον, ἀλλὰ περὶ τὴν πίστιν αὐτὴν τὴν ὀρθήν.

Καὶ ταῦτα οὕτως εἶχον καὶ ἄλλα πλείονα ἔχοντα τελείαν πληροφορίαν. καὶ ὅμως οἱ τὰς θείας γραφὰς ἐρευνοῦντες οἴδασιν τὰ τοιαῦτα ἐξετάζειν, τὰ περὶ πίστεως λέγω. αὐτὸς δὲ ὁ μέγας Βασίλειος εἰς τὸν α' αὐτοῦ κανόνα σαφῶς περὶ τὰς τοιαύτας διαφορὰς λέγει ἐκεῖ, τί ἐστιν αἵρεσις καὶ τί σχίσμα καὶ τί παρασυναγωγή. καὶ οὕτως μὲν ὁ ἅγιος περὶ τὰς τοιαύτας διαφορὰς λέγει, ἃς ὁ ζητήσας εὑρήσει. τούτους δὲ τοὺς ἀδελφοὺς ἡμῶν τοὺς λεγομένους Τζάτους ὅπου ἂν εισιν καὶ εἰς οἷον κατοικοῦσιν τόπον ἀπὸ πανταχόθεν ἐξερευνήσαντες, εὕρομεν αὐτοὺς χάριτι Χριστοῦ ἀνεπιλήπτους εἰς τὰ τοιαῦτα, εἴς τε τὰ περὶ πίστεως, ὁμοίως καὶ εἰς τὰ σχίσματα καὶ τὰς παρασυναγωγάς. καὶ γὰρ ὁ μητροπολίτης τῆς ἐνορίας αὐτῶν καὶ τῆς χώρας Μεσοποταμίας, ἐν ᾧ καὶ οἰκοῦσιν ἀπὸ τῶν ἄνωθεν χρόνων, εἰ καὶ διὰ τὰς ἐπιδρομὰς τῶν ἐθνῶν ἐσκορπίσθησάν τινες ἐξ αὐτῶν εἰς διαφόρους χώρας, ἀλλ' ὅμως, καθὼς καὶ εἴπαμεν, ὁ μητροπολίτης αὐτῶν ἐκ ⟨τοῦ⟩ τῆς Ἀντιοχείας πατριαρχοῦντος χειροτονεῖται, ὡς θρόνος ὑπάρχων πάσης Ἀνατολῆς. καὶ ἔνθεσμον καὶ κανονικὸν αὐτῶν ἐστιν τὸ ἱερατεῖον καὶ ὅλον αὐτῶν τὸ σύστημα [1]) καὶ ἔξω πάσης χάριτι Χριστοῦ ὑποψίας. καὶ ὅμως αὐτοῦ πάλιν τὸν βίον τοῦ μεγάλου πατρὸς ἡμῶν Σάβα ἐντυχόντες εὑρήσετε [2]) τούτους συνοικοῦντας τὸν μέγαν [3]) καὶ εἰς τὴν θεόκτιστον ἐκκλησίαν ἐπιτραπῆναι παρὰ τοῦ ἁγίου ἐν τῇ ἀρμενίῳ διαλέκτῳ ψάλλεσθαι τὴν ἀκολουθίαν, τοὺς δὲ ἑλληνιστὰς παραμίαν πάλιν ψάλλειν, καθὼς καὶ οἱ ἐνταῦθα ἀδελφοὶ ἡμῶν ψάλλουσιν τῇ τῶν Ἀρμενίων διαλέκτῳ καὶ οἱ ἑλληνισταὶ [4]) παραμίαν, εἰς διαφόρους δὲ χοροὺς διὰ τὸ μὴ ἔχειν δύο ἐκκλησίας, μό-

---

[1]) τὸ συστήματι cod. [2]) εὑρήσεται cod. [3]) μέγα cod. [4]) ἐνλινισταὶ cod.

